# ΠΛΟΥΤΑΡΧΟΥ

## ΕΚ ΤΩΝ ΠΑΡΑΛΛΗΛΩΝ ΒΙΩΝ

Ὁ λόγος οὗτος εἶναι ὁ ἔννατος τῶν Παραλλήλων βίων τοῦ Πλουτάρχου. Ἀντιπαραβάλλει δὲ τὸν Ἀριστείδην ὁ συγγραφεὺς πρὸς τὸν Κάτωνα.

# ΑΡΙΣΤΕΙΔΗΣ

ΑΡΙΣΤΕΙΔΗΣ ὁ Λυσιμάχου, φυλῆς μὲν ἦν Ἀντιοχίδος[1], τὸν δὲ δῆμον Ἀλωπεκῆθεν[2]. Περὶ δ' οὐσίας αὐτοῦ λόγοι διάφοροι γεγόνασιν, οἱ μὲν[3] ὡς ἐν πενίᾳ συντόνῳ καταβιώσαντος[4], καὶ μετὰ τὴν τελευτὴν ἀπολιπόντος θυγατέρας δύο πολὺν χρόνον ἀνεκδότους[5] δι' ἀπορίαν γεγενημένας. Πρὸς δὲ τοῦτον τὸν λόγον ὑπὸ πολλῶν εἰρημένον ἀντιτασσόμενος ὁ Φαληρεὺς Δημήτριος[6] ἐν τῷ Σωκράτει, χωρίον τε Φαληροῖ[7] φησι γινώσκειν Ἀριστείδου λεγόμενον, ἐν ᾧ τέθαπται· καὶ τεκμήρια τῆς περὶ τὸν οἶκον εὐπορίας, ἓν μὲν ἡγεῖται, τὴν ἐπώνυμον ἀρχήν[8], ἣν ἦρξε τῷ κυάμῳ λαχὼν ἐκ τῶν γενῶν τῶν τὰ μέγιστα τιμήματα κεκτημένων, οὓς Πεντακοσιομεδίμνους[9] προσηγόρευον· ἕτερον δὲ τὸν ἐξοστρακισμόν· οὐδενὶ γὰρ τῶν πενήτων, ἀλλὰ τοῖς ἐξ οἴκων τε μεγάλων, καὶ διὰ γένους ὄγκον ἐπιφθόνων, ὄστρακον ἐπιφέρεσθαι[10]· τρίτον δὲ καὶ τελευταῖον, ὅτι νίκης ἀναθήματα χορηγικοὺς τρίποδας ἐν Διονύσου[11] κατέλιπεν, οἳ καὶ καθ' ἡμᾶς ἐδείκνυντο, τοιαύτην ἐπι-

1) Ὁ λαὸς τῆς Ἀττικῆς διῃρεῖτο εἰς δέκα φυλάς, τὴν Ἐρεχθηΐδα, Αἰγηΐδα, Πανδιονίδα, Λεοντίδα, Ἀκαμαντίδα, Οἰνηΐδα, Κεκροπίδα, Ἱπποθοντίδα, Αἰαντίδα καὶ Ἀντιοχίδα, εἰς τὰς ὁποίας ἐπὶ τῶν Μακεδονικῶν χρόνων προσετέθησαν ἄλλαι δύο. Ὑποδιῃρεῖτο δὲ εἰς περίπου 174 δήμους, εἷς τῶν ὁποίων ἦτον ἡ Ἀλωπεκή, χωρίον κείμενον ½ τῆς ὥρας μακρὰν τῶν Ἀθηνῶν, καὶ καλούμενον σήμερον Ἀμπελόκηποι. 2) Κ. § 339 καὶ 357. 3) Ἀποδίδ. εἰς τὸ πρὸς δὲ τοῦτον. 4) Αὐτοῦ ὡς καταβιώσαντος. 5) Ἀνυπάνδρους. 6) Περίφημος πολιτικὸς καὶ ῥήτωρ Ἀθηναῖος ἐπὶ Μακεδόνων, συγγράψας διάφορα συγγράμματα τὰ ὁποῖα δὲν διεσώθησαν· ἓν αὐτῶν ἐκαλεῖτο, ὡς φαίνεται, Σωκράτης. 7) Ἐν τῷ Φαληρῷ δῆμος τῆς Ἀττικῆς εἰς τὸν λιμένα Φάληρον, μεσημβρινῶς τῶν Ἀθηνῶν. 8) Κατ' ἔτος ἐξελέγετο εἰς Ἀθήνας διὰ ψηφοφορίας, ἥτις ἐγίνετο διὰ κυάμων, εἷς ἄρχων, ὅστις ἐκαλεῖτο ἐπώνυμος, διότι κατ' αὐτὸν ὠνομάζετο τὸ ἔτος καθ' ὃ ἦρξεν. Οἷον ἔλεγον: ἐπὶ Ἀριστείδου ἄρχοντος. Ὁ Ἀριστείδης ἦρξε τὴν ἐπώνυμον ἀρχὴν τὸ 480ὸν ἔτος π. Χ. Ὀλ. 72, 4. 9) Ὁ Σόλων διῄρεσε τὸν λαὸν τῆς Ἀττικῆς κατὰ τὴν περιουσίαν εἰς τέσσαρας τάξεις (τέλη ἢ τιμήματα)· τοὺς πεντακοσιομεδίμνους, τοὺς ἱππεῖς, τοὺς ζευγίτας καὶ τοὺς θῆτας, ἤτοι τοὺς εἰσπράττοντας ὑπὲρ τοὺς 500, ὑπὲρ τοὺς 300, ὑπὲρ τοὺς 150, ἢ ὀλιγωτέρους μεδίμνους σπαρτῶν εἰς τὴν γῆν των. Οἱ ἐπώνυμοι ἐξελέγοντο ἐκ τῶν πρώτων. 10) Ἡγεῖται ἐπιφέρεσθαι ὅτι τὸ ὄστρακον ῥίπτεται, δηλ. ὅτι ἐξορίζονται δι' ὀστράκων· ἴδε κατωτέρω § 7. 11) Τὸ θέατρον τῶν Ἀθηνῶν ἦτον ἱερὸν τοῦ Διονύσου. Ἑκάστου δράματος ὁ χορὸς καὶ τὰ ἔξοδα ἐπληρώνοντο ἀπὸ ἕνα ἰδιώτην, ὅστις ἐλέγετο ὅτι ἐχορήγει. Ἂν τὸ δρᾶμα ἐπροτιμᾶτο ἀπὸ ἄλλα τὰ ὁποῖα εἶχον συμπαρασταθῆ, ἡ νίκη ἀπεδίδετο πρὸς τὴν φυλὴν εἰς ἣν ἀνῆκεν ὁ ἰδιώτης. Οὗτος δὲ ἀνήγειρεν ἐπὶ στήλης ἢ ἐπὶ μικροῦ οἰκοδομήματος χαλκοῦν τρίποδα μὲ ἐπιγραφὴν ὡς εὐχαριστήριον εἰς τὸν Διόνυσον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Εργασίες Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

γραφὴν διασώζοντες «Ἀντιοχὶς ἐνίκα, Ἀριστείδης ἐχορήγει, Ἀρχέστρατος ἐδίδασκε[44]». Τουτὶ μὲν οὖν, καίπερ εἶναι δοκοῦν μέγιστον, ἀσθενέστατόν ἐστι. Καὶ γὰρ Ἐπαμινώνδας, ὃν πάντες ἄνθρωποι γινώσκουσιν ἐν πενίᾳ καὶ τραφέντα πολλῇ καὶ βιώσαντα, καὶ Πλάτων ὁ φιλόσοφος, οὐκ ἀφιλοτίμους ἀνεδέξαντο χορηγίας, ὁ μὲν αὐληταῖς ἀνδράσιν, ὁ δὲ παισὶ κυκλίοις[45] χορηγήσας· τούτῳ μὲν Δίωνος τοῦ Συρακουσίου[46] τὴν δαπάνην παρέχοντος, Ἐπαμινώνδᾳ δὲ τῶν περὶ Πελοπίδαν[47]. Οὐ γάρ ἐστι τοῖς ἀγαθοῖς ἀκήρυκτος καὶ ἄσπονδος πρὸς τὰς παρὰ τῶν φίλων δωρεὰς πόλεμος. Ἀλλὰ τὰς εἰς ἀπόθεσιν[48] καὶ πλεονεξίαν ἀγεννεῖς ἡγούμενοι καὶ ταπεινάς, ὅσαι[49] φιλοτιμίας τινὸς ἀκερδοῦς ἔχονται καὶ λαμπρότητος, οὐκ ἀπωθοῦνται[50]. Παναίτιος[51] μέντοι περὶ τοῦ τρίποδος ἀποφαίνει τὸν Δημήτριον ὁμωνυμίᾳ διεψευσμένον[52]. Ἀπὸ γὰρ τῶν Περσικῶν[53] εἰς τὴν τελευτὴν[54] τοῦ Πελοποννησιακοῦ πολέμου δύο μόνους Ἀριστείδας χορηγοὺς ἀναγράφεσθαι[55] νικῶντας, ὧν οὐδέτερον εἶναι τῷ Λυσιμάχου τὸν αὐτόν, ἀλλὰ τὸν μέν, Ξενοφίλου πατρός, τὸν δέ, χρόνῳ πολλῷ νεώτερον ὡς ἐλέγχει τὰ γράμματα τῆς μετ' Εὐκλείδην ὄντα γραμματικῆς[56], καὶ προσγεγραμμένος Ἀρχέστρατος, ὃν ἐν τοῖς Μηδικοῖς οὐδείς, ἐν δὲ τοῖς Πελοποννησιακοῖς[57] συχνοὶ χορῶν διδάσκαλον ἀναγράφουσι. Τὸ μὲν οὖν τοῦ Παναιτίου[58] βέλτιον[59] ἐπισκεπτέον ὅπως ἔχει. Τῷ δ' ὀστράκῳ πᾶς ὁ διὰ δόξαν, ἢ γένος, ἢ λόγου δύναμιν, ὑπὲρ τοὺς πολλοὺς[60] νομιζόμενος ὑπέπιπτεν. Ὅπου[61] καὶ Δάμων, ὁ Περικλέους διδάσκαλος, ὅτι τῷ φρονεῖν ἐδόκει τις εἶναι περιττός[62], ἐξωστρακίσθη. Καὶ μὴν ἄρξαι γε τὸν Ἀριστείδην ὁ Ἰδομενεὺς[63], οὐ κυαμευτὸν ἀλλ' ἑλομένων Ἀθηναίων[64] φησίν. Εἰ δὲ καὶ μετὰ τὴν ἐν Πλαταιαῖς μάχην[65] ἦρξεν, ὡς ὁ αὐτὸς Δημήτριος γέγραφε, καὶ πάνυ πιθανόν ἐστιν ἐπὶ δόξῃ τοσαύτῃ[66] καὶ κατορθώμασι τηλικούτοις ἀξιωθῆναι δι' ἀρετήν, ἧς[67] διὰ πλοῦτον ἐτύγχανον οἱ λαγχάνοντες. Ἀλλὰ γὰρ ὁ Δημήτριος, οὐ μόνον Ἀριστείδην, ἀλλὰ καὶ Σωκράτη, δῆλός ἐστι τῆς πενίας ἐξελέσθαι[68] φιλο-

---

44) Οἱ δραματικοὶ ποιηταὶ ἐδίδασκον οἱ ἴδιοι τοὺς ὑποκριτὰς τὰ δράματά των· διὰ τοῦτο εἰς τὰς φράσεις αὐτὰς ἐ δ ί δ α σ κ ε σημαίνει συνέγραψε τὸ δρᾶμα. 45) Κύκλιος χορὸς εἶναι ὁ τὸν ὁποῖον ἐχόρευον κύκλῳ περὶ τὸν βωμόν. Ὁ μὲν λοιπὸν ἔδωσε τὴν δαπάνην διὰ τὸν χορὸν τῶν αὐλητῶν ἀνδρῶν, ὁ δὲ τῶν χορευτῶν παίδων. 46) Συγγενὴς τῶν Διονυσίων, τυράννων τῶν Συρακουσῶν, ἐλευθερώσας τὴν Σικελίαν. 47) Τοῦ Πελοπίδου, Κ. § 463, Σ. 357. 48) Ὄχι δηλ. δι' ἄμεσον χρῆσιν. 49) Ἐκείνας ὅσαι. 50) Μισοῦν ἀντὶ ἀ π ω θ ο ῦ σ ι. 51) Στωϊκὸς φιλόσοφος ἐκ Ῥόδου καὶ συγγραφεύς. 52) Ἀπατηθέντα.

53) Καιρῶν, ἢ συμβάντων, δηλ. τοῦ Περσ. πολέμου. 54) Μέχρι τῆς τ. 55) Ὅτι σημειοῦνται εἰς τὰς ἀναγραφάς, τοὺς καταλόγους. 56) Ὁ Εὐκλείδης ἦν ἄρχων ἐπώνυμος τῷ 403 π. Χ. Ὀλ. 94, β΄. Ἐπ' αὐτοῦ εἰσήχθησαν εἰς τὴν γραμματικὴν τὰ μακρὰ Η καὶ Ω, τὰ διπλᾶ Ξ, Ψ, καὶ αἱ δίφθογγοι ΕΙ καὶ ΟΙ· μετεβλήθη δὲ καὶ τὸ σχῆμά τινων γραμμάτων ὡς τοῦ Γ ἀπὸ Λ, ἢ τοῦ Λ ἀπὸ L (τὸ Λατινικόν). 57) Χρόνοις, ἐπὶ τοῦ Πελοπ. πολέμου.

58) Ὁ ἰσχυρισμὸς τοῦ Π. 59) Ἐπίρ. καλλίτερα. 60) Τὸ κοινὸν πλῆθος. 61) Αἰτιολ. ἐφ' οὗ. 62) Ἔξοχος Α. Σ. 63) Συγγραφεὺς τοῦ ὁποίου δὲν διεσώθησαν τὰ συγγράμματα.

64) Δηλ. κατ' ἐλευθέραν ἐκλογὴν καὶ ὄχι διὰ ψηφοφορίας. 65) Τῶν Ἑλλήνων κατὰ τῶν Περσῶν. Ἡ μάχη αὕτη ἔγεινε τὸ 479ον ἔτος π. Χ. Ὀλ. 75, β΄. δηλ. 10 ἔτη μετὰ τὴν ἀρχὴν τοῦ Ἀριστείδου· ὁ δὲ Δημήτριος ὁ Φαληρεὺς ἔγραψεν ὅτι ἦρξε μετὰ τὴν μάχην αὐτήν. Ἀλλὰ τοῦτο δὲν φαίνεται ἀληθές, διότι τὰ ὀνόματα ὅλων τῶν μετὰ τὴν μάχην ἀρχόντων σώζονται, καὶ μεταξὺ αὐτῶν δὲν εἶναι τὸ τοῦ Ἀριστείδου. 66) Κ. § 453, ἐπιρ. β΄. 3). 67) Ὑπεν. τῆς ἀ ρ χ ῆ ς. διὰ τὸ ἦ ρ ξ ε. 68) Νὰ τὸν ἀποσπάσῃ, δηλ. νὰ τὸν ἀποδείξῃ μὴ πένητα.

τιμούμενος, ὡς μεγάλου κακοῦ. Καὶ γὰρ ἐκείνῳ φησὶν οὐ μόνον γῆν οἰκείαν ὑπάρχειν, ἀλλὰ καὶ μνᾶς[37] ἑβδομήκοντα τοκιζομένας ὑπὸ Κρίτωνος[38].

Ἀριστείδης δέ, Κλεισθένους μὲν τοῦ καταστησαμένου τὴν πολιτείαν μετὰ τοὺς τυράννους[39] ἑταῖρος γενόμενος, ζηλώσας δὲ καὶ θαυμάσας μάλιστα τῶν πολιτικῶν ἀνδρῶν[40] Λυκοῦργον τὸν Λακεδαιμόνιον, ἥψατο μὲν ἀριστοκρατικῆς πολιτείας[41], ἔσχε δ' ἀντιτασσόμενον ὑπὲρ τοῦ δήμου Θεμιστοκλέα τὸν Νεοκλέους. Ἔνιοι μὲν οὖν φασιν, αὐτοὺς παῖδας ὄντας καὶ συντρεφομένους ἀπ' ἀρχῆς ἐν παντὶ καὶ σπουδῆς ἐχομένῳ[42] καὶ παιδιᾶς πράγματι καὶ λόγῳ διαφέρεσθαι πρὸς ἀλλήλους· καὶ τὰς φύσεις εὐθὺς ὑπὸ τῆς φιλονεικίας ἐκείνης ἀνακαλύπτεσθαι· καὶ τὴν μὲν[43], εὐχερῆ καὶ παράβολον καὶ πανοῦργον οὖσαν, καὶ μετ' ὀξύτητος ἐπὶ πάντα ῥᾳδίως φερομένην, τὴν δ' ἱδρυμένην ἐν ἤθει βεβαίῳ καὶ πρὸς τὸ δίκαιον ἀτενῆ, ψεῦδος δὲ καὶ βωμολοχίαν καὶ ἀπάτην οὐδ' ἐν παιδιᾶς τινι τρόπῳ προσιεμένην.

* * *

Ὁ μὲν οὖν Θεμιστοκλῆς εἰς ἑταιρίαν[44] ἐμβαλὼν ἑαυτόν, εἶχε πρόβλημα[45] καὶ δύναμιν οὐκ εὐκαταφρόνητον, ὥστε καὶ πρὸς τὸν εἰπόντα, καλῶς αὐτὸν ἄρξειν Ἀθηναίων, ἄν περ ἴσος[46] ᾖ καὶ κοινὸς ἅπασι, Μηδέποτ', εἶπεν, εἰς τοῦτον ἐγὼ καθίσαιμι τὸν θρόνον, ἐν ᾧ πλέον οὐδὲν ἕξουσιν οἱ φίλοι παρ' ἐμοὶ τῶν ἀλλοτρίων. Ἀριστείδης δὲ καθ' ἑαυτὸν ὥσπερ ὁδὸν ἰδίαν ἐβάδιζε διὰ τῆς πολιτείας· πρῶτον μέν, οὐ βουλόμενος συναδικεῖν τοῖς ἑτέροις, ἢ λυπηρὸς εἶναι μὴ χαριζόμενος[47]· ἔπειτα τὴν ἀπὸ τῶν φίλων δύναμιν οὐκ ὀλίγους ὁρῶν ἐπαίρουσαν[48] ἀδικεῖν, ἐφυλάττετο, μόνῳ τῷ χρηστὰ καὶ δίκαια πράττειν καὶ λέγειν ἀξιῶν θαῤῥεῖν τὸν ἀγαθὸν πολίτην[49].

Οὐ μὴν ἀλλά, πολλὰ κινουμένου τοῦ Θεμιστοκλέους παραβόλως, καὶ πρὸς πᾶσαν αὐτῷ πολιτείαν[50] ἐνισταμένου καὶ διακόπτοντος, ἠναγκάζετό που καὶ αὐτός, τὰ μὲν[51] ἀμυνόμενος, τὰ δὲ κολούων τὴν ἐκείνου δύναμιν, χάριτι τῶν πολλῶν[52] αὐξομένην, ὑπεναντιοῦσθαι οἷς ἔπραττεν ὁ Θεμιστοκλῆς· βέλτιον ἡγούμενος παρελθεῖν[53] ἔνια τῶν συμφερόντων τῷ δήμῳ, ἢ τῷ κρατεῖν[54] ἐκεῖνον ἐν πᾶσιν ἰσχυρὸν γενέσθαι. Τέλος δέ ποτε τοῦ Θεμιστοκλέους πράττοντός τι τῶν δεόντων, ἀντικρούσας καὶ περιγενόμενος, οὐ κατέσχεν[55], ἀλλ' εἶπεν ἀπὸ τῆς ἐκκλησίας ἀπιών, ὡς οὐκ ἔστι σωτηρία τοῖς Ἀθηναίων πράγμασιν, εἰ μὴ καὶ Θεμιστοκλέα καὶ αὐτὸν εἰς τὸ βάραθρον[56] ἐμβάλοιεν. Πάλιν δὲ γράψας τινὰ γνώμην εἰς τὸν δῆμον, ἀντιλογίας οὔσης πρὸς αὐτὴν καὶ φιλονεικίας, ἐκράτει[57]· μέλλοντος δὲ τοῦ

---

37) Ἡ μνᾶ περιεῖχεν ἑκατὸν δραχμ. 38) Μαθητὴς τοῦ Σωκράτους.
39) Τοὺς Πεισιστρατίδας. Ὁ Κλεισθένης ὠργάνωσε μετ' αὐτοὺς ἐκ νέου τὴν πολιτείαν.
40) Γεν. Συντακτ. τοῦ μάλιστα. 41) Αὐτὸς μὲν ἔγινεν ὑπέρμαχος τῆς ἀριστοκρατικῆς, ὁ δὲ Θεμιστοκλῆς τῆς δημοκρατικῆς πολιτείας. 42) Μετέχοντι σπουδῆς, ἢ ἔχοντι σχέσιν μὲ τὴν σπουδήν. 43) Τοῦ Θεμιστοκ. 44) Φατρίαν, ἢ σύστημα φίλων. 45) Προπύργιον. 46) Δηλ. διανέμων ἐξ ἴσου τὰς χάριτας. 47) Λυπεῖ. 48) Ὁρῶν τὴν δ. ἐπαίρουσαν οὐκ ὀλίγους. 49) Ἀξιῶν θαῤῥεῖν τὸν ἀγ. πολ. μόνῳ τῷ πράττειν. Λέγων ὅτι πρέπει ὁ ἀγ. πολ. νὰ ἔχῃ θάῤῥος μόνον πράττων κτλ. 50) Πολιτ. ἐπιχείρησιν. 51) Ἄλλοτε μέν.
52) Διὰ τῆς εὐνοίας τοῦ πλήθους. 53) Νὰ περάσωσι, νὰ μὴ γίνωσι. 54) Διὰ τοῦ κρατεῖν, παρὰ νὰ γένῃ ὁ Θεμιστοκλῆς ἰσχυρὸς ἐπιτυγχάνων εἰς ὅλα. 55) Δὲν ὑπέμεινε.
56) Βαθὺς βόθρος ὅπου κατεκρήμνιζον τοὺς καταδίκους. 57) Ὑπερίσχυε.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ — ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ — ΙΩΑΝΝΙΝΑ 2006

προέδρου τὸν δῆμον ἐπερωτᾷν, αἰσθόμενος ἐκ τῶν λόγων αὐτῶν τὸ ἀσύμφορον, ἀπέστη[58] τοῦ ψηφίσματος. Πολλάκις δὲ καὶ δι' ἑτέρων εἰσέφερε[59] τὰς γνώμας, ὡς μὴ φιλονεικίᾳ τῇ πρὸς αὐτὸν ὁ Θεμιστοκλῆς ἐμπόδιος εἴη τῷ συμφέροντι. Θαυμαστὴ δέ τις ἐφαίνετο αὐτοῦ παρὰ τὰς ἐν τῇ πολιτείᾳ μεταβολὰς[60] ἡ εὐστάθεια, μήτε ταῖς τιμαῖς ἐπαιρομένου, πρός τε τὰς δυσημερίας ἀθορύβως καὶ πρᾴως ἔχοντος[61], καὶ ὁμοίως ἡγουμένου χρῆναι τῇ πατρίδι παρέχειν ἑαυτόν, οὐ χρημάτων μόνον, ἀλλὰ καὶ δόξης προῖκα καὶ ἀμισθὶ πολιτευόμενον[62]. Ὅθεν, ὡς ἔοικε, τῶν εἰς Ἀμφιάραον ὑπ' Αἰσχύλου[63] πεποιημένων ἰαμβείων[64] ἐν τῷ θεάτρῳ λεγομένων,

Οὐ γὰρ δοκεῖν δίκαιος[65], ἀλλ' εἶναι θέλει,
Βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος[66],
Ἀφ' ἧς[67] τὰ κεδνὰ[68] βλαστάνει βουλεύματα·

πάντες ἀπέβλεψαν εἰς Ἀριστείδην, ὡς ἐκείνῳ μάλιστα τῆς ἀρετῆς ταύτης προσηκούσης.

Οὐ μόνον δὲ πρὸς εὔνοιαν καὶ χάριν, ἀλλὰ καὶ πρὸς ὀργὴν καὶ πρὸς ἔχθραν ἰσχυρότατος ἦν ὑπὲρ τῶν δικαίων ἀντιβῆναι[69]. Λέγεται γοῦν ποτε διώκων ἐχθρὸν ἐν δικαστηρίῳ μετὰ τὴν κατηγορίαν οὐ βουλομένων ἀκούειν τοῦ κινδυνεύοντος[70] τῶν δικαστῶν, ἀλλὰ τὴν ψῆφον εὐθὺς αἰτούντων ἐπ' αὐτόν, ἀναπηδήσας τῷ κρινομένῳ συνικετεύειν, ὅπως ἀκουσθείη[71] καὶ τύχοι τῶν νομίμων. Πάλιν δὲ κρίνων ἰδιώταις δυσί[72], τοῦ ἑτέρου λέγοντος, ὡς πολλὰ τυγχάνει τὸν Ἀριστείδην ὁ ἀντίδικος λελυπηκώς· Λέγ', ὦ 'γαθέ, φάναι[73], μᾶλλον, εἴ τί σε κακὸν πεποίηκε· σοὶ γάρ, οὐκ ἐμαυτῷ, δικάζω. Τῶν δὲ δημοσίων προσόδων αἱρεθεὶς ἐπιμελητής, οὐ μόνον τοὺς καθ' αὑτόν[74], ἀλλὰ καὶ τοὺς πρὸ αὐτοῦ γενομένους ἄρχοντας ἀπεδείκνυε πολλὰ νενοσφισμένους[75], καὶ μάλιστα τὸν Θεμιστοκλέα.

Σοφὸς γὰρ ἁνήρ, τῆς δὲ χειρὸς οὐ κρατῶν[76].

Διὸ καὶ συναγαγὼν[77] πολλοὺς ἐπὶ τὸν Ἀριστείδην[78], ἐν ταῖς εὐθύναις[79] διώκων κλοπῆς[80], καταδίκῃ περιέβαλλεν, ὥς φησιν Ἰδομενεύς[81]. Ἀγανακτούντων δὲ τῶν πρώτων ἐν τῇ πόλει καὶ βελτίστων οὐ μόνον ἀφείθη τῆς ζημίας, ἀλλὰ καὶ πάλιν ἄρχων ἐπὶ τὴν αὐτὴν διοίκησιν ἀπεδείχθη[81]. Προσποιούμενος δὲ τῶν προτέρων[82] μεταμέλειν αὐτῷ, καὶ μαλακώτερον ἐνδιδοὺς ἑαυτόν, ἤρεσκε τοῖς τὰ κοινὰ κλέπτουσιν, οὐκ ἐξελέγχων, οὐδ' ἀκριβολογού-

---

58) Παρῃτήθη. 59) Ἐπρότεινε. 60) Σημ. Διάρκειαν. Κ. § 438, Παρ. γ'. 4). 61) Ἀτα-[illegible] [illegible] μένη. 62) Νὰ δίδῃ τὸν ἑαυτόν του εἰς τὴν πατρίδα πολιτευόμενον χωρὶς μισθὸν δόξης, δηλ. νὰ πολιτεύηται εἰς τὴν πατρίδα του, χωρὶς νὰ ἀπαιτῇ νὰ ἀπολαύσῃ διὰ τοῦτο δόξαν.
63) Ὁ τραγικὸς ποιητὴς Αἰσχύλος λέγει τοὺς στίχους τούτους εἰς τὸ δρᾶμα τὸ ἐπιγραφόμενον Ἑπτὰ ἐπὶ Θήβας, καὶ τοὺς ἀναφέρει εἰς τὸν μάντιν Ἀμφιάραον. Εἶναι δὲ οἱ 592—595 τοῦ δράματος. 64) Τῶν στίχων τοῦ δράματος ὄντων εἰς ἰαμβικὸν μέτρον. 65) [illegible] τὸ δρᾶμα φέρεται ἄριστος. 66) Καρπούμενος βαθεῖαν (ἐπομένως εὔφορον) αὔλακα ἐξειργασμένην διὰ μέσου (εἰς τὸν ἀγρὸν) τῆς φρενός του· δηλ. ἀπολαμβάνων ἀφθόνους καρποὺς τῶν φρενῶν του, ποιητ. περίφρασις διὰ νὰ εἴπῃ ὢν φρόνιμος. 67) Παρ' Αἰσχύλῳ, ἐξ ἧς. 68) Ἔμφρονα. 69) Νὰ ἀναντιωθῇ εἰς τὴν ἰδίαν ὀργήν του ὑπὲρ τοῦ δικαίου. 70) Ἐχθροῦ του. 71) Κ. § 400. 72) Δοτ. περιποιητ. μεταξὺ δ. [illegible] 73) Λέγεται φάναι. 74) Τοὺς συγχρόνους του. 75) Σφετερισθέντας τὰ δημόσια. 76) Δὲν ἐξουσιάζει τὰς χεῖράς του, νὰ μὴ κλέπτῃ, δηλ. Τὸν στίχον τοῦτον ἀναφέρει ἀπό τινα ἄγνωστον ποιητήν. 77) Ὁ Θεμ. 78) Κατὰ τοῦ Ἀρ. Κ. § 553. Ἐπ. γ'. 3). 79) Ὅταν ἔμελλε νὰ δώσῃ λόγον τῆς διαχειρίσεώς του. 80) Δ. Κ. διώκω. 3). 81) Ἱστορικός. 82) Συνηθειῶν.

μενος, ὥστε καταπεπλησμένους τῶν δημοσίων, ὑπερεπαινεῖν[83] τὸν Ἀριστείδην, καὶ δεξιοῦσθαι[84] τὸν δῆμον ὑπὲρ αὐτοῦ σπουδάζοντας ἄρχοντα πάλιν αἱρεθῆναι. Μελλόντων δὲ χειροτονεῖν, ἐπετίμησε τοῖς Ἀθηναίοις, «Ὅτε μὲν γὰρ (ἔφη) πιστῶς καὶ καλῶς ὑμῖν ἦρξα, προὐπηλακίσθην· ἐπεὶ δὲ πολλὰ τῶν κοινῶν καταπροεῖμαι τοῖς κλέπτουσι, θαυμαστὸς εἶναι δοκῶ πολίτης. Αὐτὸς μὲν οὖν αἰσχύνομαι τῇ νῦν τιμῇ μᾶλλον, ἢ τῇ πρώην καταδίκῃ· συνάχθομαι δ᾽ ὑμῖν, παρ᾽ οἷς ἐνδοξότερόν ἐστι τοῦ σώζειν τὰ δημόσια, τὸ χαρίζεσθαι τοῖς πονηροῖς». Ταῦτα δ᾽ εἰπών, καὶ τὰς κλοπὰς ἐξελέγξας, τοὺς μὲν τότε βοῶντας καὶ μαρτυροῦντας ὑπὲρ αὐτοῦ κατεστόμισε[85], τὸν δ᾽ ἀληθινὸν καὶ δίκαιον ἀπὸ τῶν βελτίστων ἔπαινον εἶχεν[86].

Ἐπεὶ δὲ Δᾶτις[87] ὑπὸ Δαρείου πεμφθείς, λόγῳ μὲν ἐπιθεῖναι δίκην[88] Ἀθηναίοις, ὅτι Σάρδεις[89] ἐνέπρησαν, ἔργῳ δὲ καταστρέψασθαι τοὺς Ἕλληνας, εἰς Μαραθῶνα παντὶ τῷ στόλῳ κατέσχε[90] καὶ τὴν χώραν ἐπόρθει, τῶν δέκα καθεστώτων τοῖς Ἀθηναίοις ἐπὶ τὸν πόλεμον στρατηγῶν[91], μέγιστον μὲν εἶχεν ἀξίωμα Μιλτιάδης, δόξῃ δὲ καὶ δυνάμει δεύτερος ἦν Ἀριστείδης· καὶ τότε περὶ τῆς μάχης γνώμῃ τῇ Μιλτιάδου προσθέμενος, οὐ μικρὰν ἐποίησε ῥοπήν[92]· καὶ παρ᾽ ἡμέραν ἑκάστου στρατηγοῦ τὸ κράτος ἔχοντος, ὡς περιῆλθεν εἰς αὐτὸν ἡ ἀρχή, παρέδωκε Μιλτιάδῃ, διδάσκων τοὺς συνάρχοντας, ὅτι τὸ πείθεσθαι καὶ ἀκολουθεῖν τοῖς εὖ φρονοῦσιν οὐκ αἰσχρόν, ἀλλὰ σεμνόν ἐστι καὶ σωτήριον. Οὕτω δὲ πραΰνας τὴν φιλονεικίαν, καὶ προτρεψάμενος αὐτοὺς ἀγαπᾶν μιᾷ γνώμῃ τῇ κρατίστῃ χρωμένους[93], ἔρρωσε τὸν Μιλτιάδην, τῷ ἀπερισπάστῳ[94] τῆς ἐξουσίας ἰσχυρὸν γενόμενον. Χαίρειν γὰρ ἐῶν[95] ἕκαστος ἤδη τὸ παρ᾽ ἡμέραν ἄρχειν, ἐκείνῳ προσεῖχεν[96]. Ἐν δὲ τῇ μάχῃ μάλιστα τῶν Ἀθηναίων τοῦ μέσου πονήσαντος[97], καὶ πλεῖστον ἐνταῦθα χρόνον τῶν βαρβάρων ἀντερεισάντων κατὰ Λεοντίδα καὶ Ἀντιοχίδα φυλήν[98], ἠγωνίσαντο λαμπρῶς τεταγμένοι παρ᾽ ἀλλήλους ὅ,τε Θεμιστοκλῆς καὶ ὁ Ἀριστείδης. Ὁ μὲν γὰρ Λεοντίδης ἦν, ὁ δ᾽ Ἀντιοχίδης[99]. Ἐπεὶ δὲ τρεψάμενοι τοὺς βαρβάρους, ἐνέβαλον εἰς τὰς ναῦς, καὶ πλέοντας οὐκ ἐπὶ νήσων ἑώρων, ἀλλ᾽ ὑπὸ τοῦ πνεύματος καὶ τῆς θαλάσσης εἴσω πρὸς τὴν Ἀττικὴν ἀποβιαζομένους[100], φοβηθέντες μὴ τὴν πόλιν ἔρημον λάβωσι τῶν ἀμυνομένων, ταῖς μὲν ἐννέα φυλαῖς ἠπείγοντο πρὸς τὸ ἄστυ[101], καὶ κατήνυσαν[102] αὐθημερόν. Ἐν δὲ Μαραθῶνι μετὰ τῆς ἑαυτοῦ φυλῆς Ἀριστείδης ἀπολειφθεὶς φύλαξ τῶν

---

83) Καταπεπλησμένους ὑποκείμ. τῆν Ἀρ. δὲ ἀντικείμ. τοῦ Ἐπαινεῖν. 84) Ἐπεριποιοῦντο [illegible] σπουδάζοντες. 85) Ἀπεστόμωσε. 86) Εἶχε τὸν ἀλ. ἔπαινον ἀπὸ τῶν βελτίστων (πολιτῶν).
87) Ὁ στρατηγὸς τοῦ Δαρείου, βασ. τῶν Περσῶν. 88) Νὰ τιμωρήσῃ. 89) Μητρόπολις τῆς Λυδίας. Οἱ Ἀθην. τὰς ἔκαυσαν βοηθοῦντες τὸν Ἱστιαῖον, τύραννον τῆς Μιλήτου, ἀποστατήσαντα κατὰ τῆς Περσίας. 90) Ἐλλ. τὰς νῆας, ἢ ἑαυτόν. Ἐκίνησεν, ἔφθασε. 91) Γεν. ἀπόλ. εἰς τὸν πόλεμον οἱ Ἀθηναῖοι τότε διώριζον δέκα στρατηγούς, ἀνὰ ἕνα ἐξ ἑκάστης φυλῆς, ἄρχοντας ἀνὰ μίαν ἀλληλοδιαδόχως ἡμέραν. 92) Νὰ κλίνωσιν αἱ γνῶμαι ὑπὲρ τῆς [illegible]. 93) Νὰ εὐχαριστοῦνται μεταχειριζόμενοι. Κ. §. 432, θ. 94) Διὰ τοῦ ἀπ. 95) Ἐγκαταλείψας. Α. Σ. Χαίρω. 96) Ὑπήκουεν. 97) Πονήσαντος τοῦ μέσου (τάγματος) τῶν [illegible]. 98) Οἱ Ἀθ. παρετάττοντο διῃρημένοι κατὰ φυλάς. 99) Δηλ. ἐκ τῆς Λ. καὶ ἐκ τῆς Ἀντ. Ἴσως ἔμελλεν ὀρθότερον ἀναγνωστέον κατ᾽ ἄλλα χειρόγραφα Λεοντίδος καὶ Ἀντιοχίδος. 100) Ἀποβιαζομένους (προχωρουμένους) οὐκ ἐπὶ νήσων τοῦ Αἰγαίου, διὰ τῶν ὁποίων [illegible] νὰ πλεύσουν εἰς τὴν Ἀσίαν. 101) Ἄστυ ὠνόμαζον τὴν πόλιν τῶν Ἀθηνῶν.
102) Κατηνύσθη καὶ κατανῶσι.

αἰχμαλώτων καὶ τῶν λαφύρων, οὐκ ἐψεύσατο[103] τὴν δόξαν· ἀλλὰ χύδην μὲν ἀργυρίου καὶ χρυσοῦ παρόντος, ἐσθῆτος δὲ παντοδαπῆς καὶ χρημάτων ἄλλων ἀμυθήτων[104] ἐν ταῖς σκηναῖς καὶ τοῖς ἡλωκόσι[105] σκάφεσιν ὑπαρχόντων, οὔτ' αὐτὸς ἐπεθύμησε θιγεῖν[106], οὔτ' ἄλλον εἴασε, πλὴν εἴ τινες ἐκεῖνον λαθόντες ὠφελήθησαν· ὧν[107] ἦν καὶ Καλλίας ὁ δᾳδοῦχος[108]. Τούτῳ γάρ τις, ὡς ἔοικε, τῶν βαρβάρων προσέπεσεν[109], οἰηθεὶς βασιλέα διὰ τὴν κόμην καὶ τὸ στρόφιον[110] εἶναι· προσκυνήσας δὲ καὶ λαβόμενος τῆς δεξιᾶς, ἔδειξε πολὺν χρυσὸν ἐν λάκκῳ τινὶ κατορωρυγμένον. Ὁ δὲ Καλλίας, ὠμότατος ἀνθρώπων καὶ παρανομώτατος γενόμενος, τὸν μὲν χρυσὸν ἀνείλετο, τὸν δ' ἄνθρωπον, ὡς μὴ κατείποι[71] πρὸς ἑτέρους, ἀπέκτεινεν. Ἐκ τούτου φασὶ καὶ Λακκοπλούτους[111] ὑπὸ τῶν κωμικῶν τοὺς ἀπὸ τῆς οἰκίας[112] λέγεσθαι, σκωπτόντων εἰς τὸν τόπον, ἐν ᾧ τὸ χρυσίον ὁ Καλλίας[113] εὗρεν. Ἀριστείδης δὲ τὴν ἐπώνυμον εὐθὺς ἀρχὴν ἦρξε[*]. Καίτοι φησὶν ὁ Φαληρεὺς Δημήτριος[*], ἄρξαι τὸν ἄνδρα μικρὸν ἔμπροσθεν τοῦ θανάτου, μετὰ τὴν ἐν Πλαταιαῖς μάχην. Ἐν δὲ ταῖς ἀναγραφαῖς[114], μετὰ μὲν Ξανθιππίδην[115], ἐφ' οὗ Μαρδόνιος[116] ἡττήθη Πλαταιᾶσιν[117], οὐδ' ὁμώνυμον Ἀριστείδην ἐν πάνυ πολλοῖς λαβεῖν ἐστι· μετὰ δὲ Φαίνιππον, ἐφ' οὗ τὴν ἐν Μαραθῶνι μάχην ἐνίκων, εὐθὺς Ἀριστείδης ἄρχων ἀναγέγραπται.

Πασῶν δὲ τῶν περὶ αὐτὸν ἀρετῶν ἡ δικαιοσύνη μάλιστα τοῖς πολλοῖς αἴσθησιν παρεῖχε[118] διὰ τὸ τὴν χρείαν ἐνδελεχεστάτην[119] αὐτῆς καὶ κοινοτάτην ὑπάρχειν. Ὅθεν ἀνὴρ πένης καὶ δημοτικὸς[120] ἐκτήσατο τὴν βασιλικωτάτην καὶ θειοτάτην προσηγορίαν, τὸν Δίκαιον[121], ὃ τῶν βασιλέων καὶ τυράννων οὐδεὶς ἐζήλωσεν, ἀλλὰ Πολιορκηταὶ[122], καὶ Κεραυνοὶ[123], καὶ Νικάτορες[124], ἔνιοι δ' Ἀετοὶ[125] καὶ Ἱέρακες[126] ἔχαιρον προσαγορευόμενοι, τὴν ἀπὸ τῆς βίας καὶ τῆς δυνάμεως, ὡς ἔοικε, μᾶλλον, ἢ τὴν ἀπὸ τῆς ἀρετῆς, δόξαν ἀγαπῶντες. Καίτοι τὸ θεῖον, ᾧ γλίχονται συνοικειοῦν καὶ συναφομοιοῦν αὐτούς, τρισὶ δοκεῖ διαφέρειν[127], ἀφθαρσίᾳ, καὶ δυνάμει, καὶ ἀρετῇ· ὧν σεμνότατον ἡ ἀρετὴ καὶ θειότατόν ἐστιν. Ἀφθάρτῳ[128] μὲν γὰρ εἶναι καὶ τῷ κενῷ[129] καὶ τοῖς στοιχείοις συμβέβηκε· δύναμιν δὲ σεισμοὶ καὶ κεραυνοί, καὶ πνευμάτων ὁρμαί, καὶ ῥευμάτων ἐπιφοραὶ μεγάλην ἔχουσι· δίκης δὲ

---

103) Δὲν ἀπέδειξε ψευδῆ, δὲν ἔπραξεν ἀνάξια τῆς δόξης του. 104) Τόσων πολλῶν ὥστε δὲν λέγονται, ἀπεριγράπτων. 105) Ἁλίσκω. 106) Ἀόρ. β'. τοῦ θιγγάνω. 107) Ὧν (sic).
108) Ἀξίωμα κληρονομικὸν τῶν κρατούντων τὰς δᾷδας εἰς τὰ μυστήρια.
109) Ἔπεσεν εἰς τοὺς πόδας του. 110) Τὸν κεφαλόδεσμον τῶν ἱερέων.
111) Λακκόπλουτος ὅμως παρὰ τοῖς κωμικοῖς δύναται νὰ σημαίνῃ ἁπλῶς καὶ τὸ ὑπέρπλουτος. 112) Ταύτης. 113) Ἡ οἰκία τοῦ Καλλίου ἦτον μία τῶν πρωτίστων καὶ πλουσιωτάτων εἰς Ἀθήνας. 114) Εἰς τοὺς καταλόγους τῶν ἀρχόντων. 115) Ὁ ἐπώνυμος ἄρχων τῶν Ἀθηνῶν τὸ 479ον ἔτος Π. Χ. Ὀλ. 75, β'. τὸ ἔτος τῆς ἐν Πλαταιαῖς μάχης. Ἄλλοι συγγραφεῖς τὸν ὀνομ. Ξάνθιππον, (Διόδ. Πέρ. μάχ.). 116) Ὁ στρατηγὸς τὸν ὁποῖον ὁ Ξέρξης ἄφησεν εἰς τὴν Ἑλλάδα, ἀφ' οὗ ὁ ἴδιος νικηθεὶς εἰς Σαλαμῖνα ἔφυγε.
117) Πόλις τῆς Βοιωτίας, τὴν σήμερον Κόκλα. 118) Δηλ. οἱ πολλοὶ ᾐσθάνοντο.
119) Διαρκεστάτην. 120) Δηλ. πολίτης δημοκρατίας, κατ' ἀντίθεσιν τοῦ βασιλικωτάτην. 121) Ἐκ παραλ. τοῦ προσηγορίαν. 122) Δημήτριος ὁ Πολιορκητής, υἱὸς τοῦ Ἀντιγόνου. 123) Πτολεμαῖος ὁ Κεραυνός, βασιλεὺς τῆς Μακεδονίας.
124) Σέλευκος ὁ Νικάτωρ, βασ. τῆς Συρίας. 125) Πύῤῥος ὁ Ἀετός, βασ. τῆς Ἠπείρου.
126) Ἀντίοχος ὁ Ἱέραξ, ἀδελφὸς Σελεύκου τοῦ Καλλινίκου. 127) Τῶν ἀνθρώπων. 128) Σ. § 419, β'. 129) Κατὰ τὴν δόξαν ὅτι τὸ πᾶν εἶναι κενόν, εἰς ὃ πλέουσι τὰ στοιχεῖα.

καὶ θέμιδος, οὐδενὶ ὅτι μὴ[130] τῷ φρονεῖν καὶ λογίζεσθαι τὸ θεῖον μεταλαγχάνει[131]. Δι' ὃ καὶ τριῶν ὄντων, ἃ πεπόνθασιν[132] οἱ πολλοὶ πρὸς τὸ θεῖον, ζήλου καὶ φόβου καὶ τιμῆς, ζηλοῦν μὲν αὐτοὺς καὶ μακαρίζειν ἐοίκασι κατὰ τὸ ἄφθαρτον[133] καὶ ἀΐδιον, ἐκπλήττεσθαι δὲ καὶ δεδιέναι κατὰ τὸ κύριον καὶ δυνατόν, ἀγαπᾶν δὲ καὶ τιμᾶν καὶ σέβεσθαι κατὰ τὴν δικαιοσύνην. Ἀλλὰ καίπερ οὕτω διακείμενοι, τῆς μὲν ἀθανασίας, ἣν ἡ φύσις ἡμῶν οὐ δέχεται, καὶ τῆς δυνάμεως, ἧς ἐν τῇ τύχῃ κεῖται[134] τὸ πλεῖστον, ἐπιθυμοῦσι· τὴν δ' ἀρετήν, ὃ μόνον ἐστὶ τῶν θείων ἀγαθῶν ἐφ' ἡμῖν[135], ἐν ὑστέρῳ[136] τίθενται, κακῶς φρονοῦντες[137], ὡς τὸν ἐν δυνάμει καὶ τύχῃ μεγάλῃ καὶ ἀρχῇ[138] βίον ἡ μὲν δικαιοσύνη ποιεῖ θεῖον, ἡ δ' ἀδικία θηριώδη.

Τῷ δ' οὖν Ἀριστείδῃ συνέβη τὸ πρῶτον ἀγαπωμένῳ διὰ τὴν ἐπωνυμίαν[139], ὕστερον φθονεῖσθαι, μάλιστα μὲν τοῦ Θεμιστοκλέους λόγον εἰς τοὺς πολλοὺς ἐμβαλόντος[140], ὡς Ἀριστείδης ἀνῃρηκὼς τὰ δικαστήρια τῷ κρίνειν[141] ἅπαντα καὶ δικάζειν, λέληθε μοναρχίαν ἀδορυφόρητον ἑαυτῷ κατεσκευασμένος. Ἤδη δέ που καὶ ὁ δῆμος ἐπὶ τῇ νίκῃ[142] μέγα φρονῶν, καὶ τῶν μεγίστων ἀξιῶν[143] αὑτόν, ἤχθετο τοῖς ὄνομα καὶ δόξαν ὑπὲρ τοὺς πολλοὺς ἔχουσι. Καὶ συνελθόντες[144] ἐς ἄστυ πανταχόθεν, ἐξοστρακίζουσι τὸν Ἀριστείδην, ὄνομα τῷ φθόνῳ τῆς δόξης φόβον τυραννίδος θέμενοι[145]. Μοχθηρίας γὰρ οὐκ ἦν κόλασις ὁ ἐξοστρακισμός, ἀλλ' ἐκαλεῖτο μὲν δι' εὐπρέπειαν[146], ὄγκου[147] καὶ δυνάμεως βαρυτέρας ταπείνωσις καὶ κόλασις· ἦν δὲ φθόνου παραμυθία φιλάνθρωπος[148], εἰς ἀνήκεστον οὐδέν, ἀλλ' εἰς μετάστασιν ἐτῶν δέκα τὴν πρὸς τὸ λυποῦν ἀπερειδομένου[149] δυσμένειαν. Ἐπεὶ δ' ἤρξαντό τινες ἀνθρώπους ἀγενεῖς καὶ πονηροὺς ὑποβάλλειν τῷ πράγματι[150], τελευταῖον ἁπάντων Ὑπέρβολον[151] ἐξοστρακίσαντες, ἐπαύσαντο[152]. Λέγεται δὲ τὸν Ὑπέρβολον ἐξοστρακισθῆναι διὰ τοιαύτην αἰτίαν. Ἀλκιβιάδης καὶ Νικίας, μέγιστον ἐν τῇ πόλει δυνάμενοι, διεστασίαζον[153]. Ὡς οὖν ὁ δῆμος ἔμελλεν ἐκφέρειν τὸ ὄστρακον, καὶ δῆλος ἦν τὸν ἕτερον γράψων[154], διαλεχθέντες ἀλλήλοις, καὶ τὰς στάσεις ἑκατέρας εἰς ταὐτὸ συναγαγόντες[155], τὸν Ὑπέρβολον ἐξοστρακισθῆναι παρεσκεύασαν. Ἐκ δὲ τούτου δυσχεράνας ὁ δῆμος ὡς καθυβρισμένον τὸ πρᾶγμα[156] καὶ προπεπηλακισμένον, ἀφῆκε

---

130) Ἐκτὸς μόνον. 131) Ἂν τὸ ῥῆμα τοῦτο σημαίνῃ Μεταλαμβάνει, τότε ὁ νοῦς εἶναι: Ὁ θεὸς δι' οὐδὲν ἄλλο μετέχει δίκης καὶ θέμιδος, εἰ μὴ διότι ἔχει φρόνησιν καὶ λογικόν· Εἰ δὲ καὶ τῷ Μεταλαγχάνει ἐχρήσατο ῥωμαΐζων ἐνεργητικῶς, δηλ. μεταδίδωσιν, ὁ νοῦς εἶναι: εἰς οὐδὲν ἄλλο μεταδίδει ὁ θεὸς δικαιοσύνην, εἰ μὴ εἰς τὴν φρόνησιν κτλ. Τὰ δὲ ἐνεστατικὰ ἀπαρέμφατα ἀντὶ ἀφῃρημένων ὀνομάτων. 132) Αἰσθάνονται.
133) Διὰ τὸ ἀφθ., ὡς ὄντας ἀφθάρτους· αὐτοὺς δέ, τὸ θεῖον, τοὺς θεούς. 134) Ἀπὸ τὴν τύχην ἐξαρτᾶται. 135) Εἰς τὴν δύναμίν μας. 136) Μέρει. Θεωροῦσιν ὡς ὀλιγώτερον σπουδαῖον. 137) Ἐνταῦθα ἀντί: Ἀγνοοῦντες. 138) Ἐξουσία. 139) Δίκαιος. 140) Διαδίδοντος.
141) Ὅτι διὰ τοῦ κρίνειν (κρίνων) ὅλας τὰς κρίσεις ὁ ἴδιος, ἀνῄρεσε τὰ δικαστήρια.
142) Κατὰ τῶν Περσῶν. 143) Φρονῶν ἄξιον. 144) Πληθ. δ. λ. τὸ περιληπτ. ὁ δῆμος.
145) Θέμενοι τῷ φθόνῳ τῆς δ. ὄνομα φόβον τῆς τυρ. δηλ. ὀνομάσαντες τὸν φθόνον των διὰ τὴν δ. τοῦ φόβ. τῆς τυρ. 146) Εὐπρεπεῖ ὀνόματι. 147) Ὑπερηφανείας. 148) Διότι δὲν ἦτον θανατηρά. 149) Ἀποδιδόντος ἢ μεταβάλλοντος τὴν πρὸς τὸ λυποῦν πρόσωπον ἀπέχθειαν εἰς ἐξορίαν δέκα ἐτῶν. 150) Εἰς τὸν ἐξοστρακισμόν. 151) Δυσγενέστατος πονηροῦ χαρακτῆρος, δημαγωγήσας εἰς Ἀθήνας. 152) Ἔπαυσαν τοῦ νὰ ἐξοστρακίζωσι πλέον.
153) Ἐστασίαζον μεταξύ των. 154) Ἐπὶ τοῦ ὀστράκου. 155) Ἑνώσαντες τὰς δύο φατρίας. 156) Ἀντικ. τοῦ Ἀφῆκεν. Ἀλλὰ καὶ τὸ Δυσχεραίνω φέρεται ἐνίοτε πρὸς αἰτ.



ΙΩΑΝΝΙΝΑ 2006

παντελῶς καὶ κατέλιπεν. Ἦν δὲ τοιοῦτον, ὡς τύπῳ[457] φράσαι, τὸ γινόμενον. Ὄστρακον λαβὼν ἕκαστος, καὶ γράψας, ὃν ἐβούλετο μεταστῆσαι τῶν πολιτῶν, ἔφερεν εἰς ἕνα τόπον τῆς ἀγορᾶς περιπεφραγμένον ἐν κύκλῳ δρυφράκτοις. Οἱ δ' ἄρχοντες πρῶτον μὲν διηρίθμουν τὸ σύμπαν ἐν ταὐτῷ[458] τῶν ὀστράκων πλῆθος, εἰ γὰρ ἑξακισχιλίων ἐλάττονες οἱ γράψαντες εἶεν, ἀτελὴς ἦν ὁ ἐξοστρακισμός. Ἔπειτα τῶν ὀνομάτων ἕκαστον ἰδίᾳ θέντες, τὸν ὑπὸ τῶν πλείστων γεγραμμένον ἐξεκήρυττον[459] εἰς ἔτη δέκα, καρπούμενον[460] τὰ αὑτοῦ. Γραφομένων οὖν τότε τῶν ὀστράκων, λέγεταί τινα τῶν ἀγραμμάτων καὶ παντελῶς ἀγροίκων, ἀναδόντα τῷ Ἀριστείδῃ τὸ ὄστρακον, ὡς ἑνὶ τῶν τυχόντων[461], παρακαλεῖν, ὅπως Ἀριστείδην ἐγγράψῃ. Τοῦ δὲ, θαυμάσαντος, καὶ πυθομένου, μήτι κακὸν αὐτὸν[462] Ἀριστείδης πεποίηκεν. Οὐδὲν, εἶπεν, οὐδὲ γιγνώσκω τὸν ἄνθρωπον, ἀλλ' ἐνοχλοῦμαι πανταχοῦ τὸν Δίκαιον ἀκούων. Ταῦτ' ἀκούσαντα τὸν Ἀριστείδην, ἀποκρίνασθαι[463] μὲν οὐδὲν, ἐγγράψαι δὲ τοὔνομα τῷ ὀστράκῳ καὶ ἀποδοῦναι. Τῆς δὲ πόλεως ἀπαλλαττόμενος[464] ἤδη, τὰς χεῖρας ἀνατείνας εἰς τὸν οὐρανὸν, ηὔξατο τὴν ἐναντίαν, ὡς ἔοικεν, εὐχὴν τῷ Ἀχιλλεῖ[465], μηδένα καιρὸν Ἀθηναίους καταλαβεῖν, ὃς ἀναγκάσει[466] τὸν δῆμον Ἀριστείδου μνησθῆναι.

Τρίτῳ δ' ἔτει[467], Ξέρξου διὰ Θετταλίας καὶ Βοιωτίας ἐλαύνοντος ἐπὶ τὴν Ἀττικὴν, λύσαντες τὸν νόμον, ἐψηφίσαντο τοῖς μεθεστῶσι[468] κάθοδον μάλιστα φοβούμενοι τὸν Ἀριστείδην, μὴ προσθέμενος τοῖς πολεμίοις, διαφθείρῃ καὶ μεταστήσῃ πολλοὺς τῶν πολιτῶν πρὸς τὸν βάρβαρον· οὐκ ὀρθῶς στοχαζόμενοι τοῦ ἀνδρός[469]· ὅς γε καὶ πρὸ τοῦ δόγματος τούτου διετέλει προτρέπων καὶ παροξύνων τοὺς Ἕλληνας ἐπὶ τὴν ἐλευθερίαν, καὶ μετὰ τὸ δόγμα τοῦτο, Θεμιστοκλέους στρατηγοῦντος αὐτοκράτορος[470], πάντα συνέπραττε καὶ συνεβούλευεν, ἐνδοξότατον ἐπὶ σωτηρίᾳ κοινῇ ποιῶν τὸν ἔχθιστον. Ὡς γὰρ ἀπολιπεῖν τὴν Σαλαμῖνα βουλευομένων τῶν περὶ Εὐρυβιάδην[471], αἱ βαρβαρικαὶ τριήρεις νύκτωρ ἀναχθεῖσαι, καὶ περιβαλοῦσαι[472] τόν τε πόρον[473] ἐν κύκλῳ, καὶ τὰς νήσους[474] κατεῖχον, οὐδενὸς προειδότος τὴν κύκλωσιν, ἧκεν ὁ Ἀριστείδης ἀπ' Αἰγίνης παραβόλως[475] διὰ τῶν πολεμίων νεῶν διεκπλεύσας, καὶ νυκτὸς ἐλθὼν ἐπὶ τὴν σκηνὴν τοῦ Θεμιστοκλέους, καὶ καλέσας αὐτὸν ἔξω μόνον « Ἡμεῖς (εἶπεν), ὦ Θεμιστόκλεις, εἰ σωφρονοῦμεν, ἤδη τὴν κενὴν[476] καὶ μειρακιώδη στάσιν ἀφέντες, ἀρξώμεθα σωτηρίου καὶ καλῆς φιλονεικίας, πρὸς ἀλλήλους ἁμιλλώμενοι σῶσαι τὴν

---

457) Ἐν περιλήψει. Α. Σ. Τύπος 3). 458) Εἰς τὸν αὐτὸν τόπον ῥιφθέν. 459) Ἐξώριζον.
460) Ἔχοντα τὴν ἄδειαν νὰ καρποῦται. 461) Δηλ. μὴ γνωρίσας ὅτι ἦτον ὁ Ἀριστείδης.
462) Κ. § 332, ά. 463) Ἐξαρτᾶται ἀκόμη ἀπὸ τὸ λέγεται, μ' ὅλον ὅτι ἀνωτέρω διεκόπη ὁ λόγος διὰ τοῦ εἶπεν. 464) Ἀναχωρῶν. 465) Ἴδε περὶ τοῦ Ἀχιλλέως ἐν Ὁμήρου Ἰλιάδος Α, 350—413. 466) Κ. § 402, ὁ κανὼν δὲν ἐφαρμόζεται εἰς μόνον [illegible] ἀλλ' εἰς πάντα πλάγιον λόγον, ὅπου τίθεται πολλάκις ὁ μέλλων τῆς ὁριστικῆς. 467) Μετὰ τὴν ἐξορίαν. 468) Δοτ. περιποιητ. Νὰ ἐπιστρέψωσιν οἱ ἐξόριστοι. 469) Κ. § 317 γ.
470) Μὲ ἰσχὺν ἀπεριόριστον. 471) Εὐρυβιάδης ὁ ναύαρχος τῶν Λακεδαιμονίων, οἵτινες μετὰ τῶν Ἀθηναίων καὶ τῶν λοιπῶν Ἑλλήνων ἦσαν ἐφραγμένοι εἰς τὴν Σαλαμῖνα, ἤθελον νὰ φύγωσιν ἐκεῖθεν, φοβούμενοι μὴ περικυκλωθῶσιν ἀπὸ τὸν Περσικὸν στόλον.
472) Περικυκλώσασαι. 473) Τὸ στενὸν τὸ ὁποῖον διαιρεῖ τὴν Ἀττικὴν ἀπὸ τὴν Σαλαμῖνα. 474) Ἴσως τὴν νῆσον κατ' ἄλλας γραφάς. 475) Παρατόλμως. 476) Ἀντὶ ματαίαν.

Ἑλλάδα, σὺ μὲν ἄρχων καὶ στρατηγῶν, ἐγὼ δ' ὑπουργῶν[177] καὶ συμβουλεύων. Ἐπεὶ καὶ νῦν σε πυνθάνομαι μόνον ἅπτεσθαι τῶν ἀρίστων λογισμῶν[178], κελεύοντα διαναυμαχεῖν ἐν τοῖς στενοῖς τὴν ταχίστην· καί σοι[179] τῶν συμμάχων ἀντιπραττόντων, οἱ πολέμιοι συνεργεῖν ἐοίκασι. Τὸ γὰρ ἐν κύκλῳ καὶ κατόπιν[180] ἤδη πέλαγος ἐμπέπλησται νεῶν πολεμίων, ὥστε καὶ τοὺς μὴ θέλοντας ἀνάγκη κατείληφεν ἀγαθοὺς[181] ἄνδρας εἶναι καὶ μάχεσθαι· φυγῆς γὰρ ὁδὸς οὐ λέλειπται ». Πρὸς ταῦτα ὁ Θεμιστοκλῆς εἶπεν· « Οὐκ ἂν ἐβουλόμην [μὲν], ὦ Ἀριστείδη, σε κατὰ τοῦτό μου κρείττονα γενέσθαι, πειράσομαι δὲ, πρὸς καλὴν ἀρχὴν ἁμιλλώμενος, ὑπερβαλέσθαι τοῖς ἔργοις». Ἅμα δ' αὐτῷ φράσας τὴν ὑφ' ἑαυτοῦ κατασκευασθεῖσαν ἀπάτην πρὸς τὸν βάρβαρον[182], παρεκάλει πείθειν τὸν Εὐρυβιάδην, καὶ διδάσκειν, ὡς ἀμήχανόν[183] ἐστι σωθῆναι μὴ ναυμαχήσαντας· εἶχε γὰρ αὐτοῦ μᾶλλον πίστιν[184]. Ὅθεν ἐν τῷ συλλόγῳ τῶν στρατηγῶν, εἰπόντος Κλεοκρίτου τοῦ Κορινθίου πρὸς τὸν Θεμιστοκλέα, μηδ' Ἀριστείδῃ τὴν γνώμην ἀρέσκειν αὐτοῦ, παρόντα γὰρ σιωπᾶν· ἀντεῖπεν ὁ Ἀριστείδης, ὡς οὐκ ἂν ἐσιώπα, μὴ λέγοντος τὰ ἄριστα τοῦ Θεμιστοκλέους· νῦν δ' ἡσυχίαν ἄγειν, οὐ δι' εὔνοιαν τοῦ ἀνδρὸς[185], ἀλλὰ τὴν γνώμην ἐπαινῶν.

Οἱ μὲν οὖν ναύαρχοι τῶν Ἑλλήνων ταῦτ' ἔπραττον· Ἀριστείδης δ' ὁρῶν τὴν Ψυττάλειαν[186], ἣ πρὸ τῆς Σαλαμῖνος ἐν τῷ πόρῳ κεῖται νῆσος οὐ μεγάλη, πολεμίων ἀνδρῶν μεστὴν οὖσαν, ἐμβιβάσας εἰς ὑπηρετικὰ[187] τοὺς προθυμοτάτους καὶ μαχιμωτάτους τῶν πολιτῶν[188], προσέμιξε τῇ Ψυτταλείᾳ· καὶ μάχην πρὸς τοὺς βαρβάρους συνάψας, ἀπέκτεινε πάντας, πλὴν ὅσοι τῶν ἐπιφανῶν ζῶντες ἥλωσαν[189]. Ἐν δὲ τούτοις ἦσαν ἀδελφῆς βασιλέως ὄνομα[190] Σανδαύκης τρεῖς παῖδες, οὓς εὐθὺς ἀπέστειλε πρὸς τὸν Θεμιστοκλέα· καὶ λέγονται, κατά τι λόγιον[191], τοῦ μάντεως Εὐφραντίδου κελεύσαντος, ὠμηστῇ[192] Διονύσῳ καθιερωθῆναι. Τὴν δὲ νησίδα τοῖς ὁπλίταις πανταχόθεν ὁ Ἀριστείδης περιστέψας, ἐφήδρευε[193] τοῖς ἐκφερομένοις πρὸς αὐτὴν, ὡς μήτε τῶν φίλων τινὰ διαφθαρῆναι, μήτε τῶν πολεμίων διαφυγεῖν. Ὁ γὰρ πλεῖστος ὠθισμὸς τῶν νεῶν καὶ τῆς μάχης τὸ καρτερώτατον ἔοικε περὶ τὸν τόπον ἐκεῖνον γενέσθαι· διὸ καὶ τρόπαιον ἕστηκεν ἐν τῇ Ψυτταλείᾳ. Μετὰ δὲ τὴν μάχην ὁ Θεμιστοκλῆς ἀποπειρώμενος[194] τοῦ Ἀριστείδου, καλὸν μὲν εἶναι τὸ πεπραγμένον αὐτοῖς ἔργον ἔλεγε, κρεῖττον δὲ λείπεσθαι[195] τὸ λαβεῖν ἐν Εὐρώπῃ τὴν Ἀσίαν[196], ἀναπλεύσαντας

177) Ὑπηρετῶν σέ. 178) Ὅτι σὺ μόνος ἅπτῃ τῶν ἀρ. λ., δηλ. φρονεῖς τὰ ἄριστα.

179) Συνεργεῖν σοί. Ὁ μὲν Θεμιστ. ἤθελε νὰ ναυμαχήσωσιν εἰς τὰ στενὰ ὅπου τὸ πλῆθος τῶν πλοίων ἦτο ἀνωφελὲς εἰς τοὺς Πέρσας. Οἱ δ' ἄλλοι σύμμαχοι ἐπρότεινον ν' ἀποσυρθῶσιν εἰς τὴν Πελοπόννησον. 180) Τὸ πέριξ καὶ τὸ παρεκεῖ. 181) Ἀνδρείους. 182) Εἶχε μηνύσει κρυφίως πρὸς τοὺς Πέρσας ὅτι οἱ Ἕλληνες σκοπὸν ἔχουσι νὰ φύγωσιν ἀπὸ τὴν Σαλαμῖνα, διὰ νὰ τοὺς πείσῃ νὰ περικυκλώσωσι τὴν νῆσον, καὶ οὕτω νὰ συγκροτηθῇ εἰς αὐτὴν ἡ ναυμαχία, ὅπερ καὶ ἔγινε. 183) Ἀδύνατον. 184) Ἐπιστεύετο ἀπὸ τὸν Εὐρυβιάδην περισσότερον ἀφ' ὅ,τι αὐτός. 185) Ὄχι διότι εἶχε εὔνοιαν πρὸς τὸν ἄνδρα. 186) Τὴν σήμερον Λ ε ι ψ ο κ ο υ τ ά λ ε. 187) Πλοῖα. 188) Κατ' ἄλλας γραφὰς ὁπλιτῶν. 189) Ἁλίσκω. 190) (Οὔσης κατὰ τὸ) ὄνομα. 191) Χρησμόν. 192) Ὁ τρώγων ὠμὰ κρέατα· ἐπίθετον τοῦ Διονύσου, διότι αἱ Βάκχαι ἐσχίζον ἀνθρώπους εἰς τὴν μανίαν των. 193) Παρεφύλαττε. 194) Θέλων νὰ γνωρίσῃ τί φρονεῖ [illegible]. 195) Ὅτι τὸ καλλίτερον [illegible] μένει νὰ γίνῃ. 196) Δηλ. νὰ συλλάβωσιν ἐντὸς τῆς Εὐρώπης ὅλας τὰς δυνάμεις τῆς Ἀσίας.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΙΩΑΝΝΙΝΑ 2006

εἰς Ἑλλήσποντον τὴν ταχίστην καὶ τὸ ζεῦγμα[197] διακόψαντας. Ἐπεὶ δ' Ἀριστείδης ἀνακραγών, τοῦτον μὲν ἐκέλευε τὸν λόγον καταβαλεῖν[198], σκοπεῖν δὲ καὶ ζητεῖν, ὅπως τὴν ταχίστην ἐκβάλωσι[199] τὸν Μῆδον ἐκ τῆς Ἑλλάδος, μὴ κατακλεισθεὶς ἀπορίᾳ φυγῆς μετὰ τοσαύτης δυνάμεως τραπῇ πρὸς ἄμυναν ὑπ' ἀνάγκης, οὕτω πέμπει πάλιν Ἀρνάκην εὐνοῦχον ὁ Θεμιστοκλῆς ἐκ τῶν αἰχμαλώτων, κρύφα φράσαι τῷ βασιλεῖ κελεύσας, ὅτι πλεῖν ἐπὶ τὰς γεφύρας ὡρμημένους τοὺς Ἕλληνας αὐτὸς ἀποστρέψειε[199], σώζεσθαι βασιλέα βουλόμενος.

Ἐκ τούτου Ξέρξης μέν, περίφοβος γενόμενος, εὐθὺς ἐπὶ τὸν Ἑλλήσποντον ἠπείγετο[200]· Μαρδόνιος δέ, τοῦ στρατοῦ τὸ μαχιμώτατον ἔχων περὶ τριάκοντα μυριάδας, ὑπελείπετο, καὶ φοβερὸς ἦν, ἀπ' ἰσχυρᾶς τῆς περὶ τὸ πεζὸν ἐλπίδος[201] ἀπειλῶν τοῖς Ἕλλησι καὶ γράφων τοιαῦτα· «Νενικήκατε θαλασσίοις ξύλοις χερσαίους ἀνθρώπους, οὐκ ἐπισταμένους κώπην ἐλαύνειν· ἀλλὰ νῦν πλατεῖα μὲν ἡ Θετταλῶν γῆ, καλὸν δὲ τὸ Βοιώτιον πεδίον ἀγαθοῖς ἱππεῦσι καὶ ὁπλίταις[202] ἐναγωνίσασθαι». Πρὸς δ' Ἀθηναίους ἔπεμψεν ἰδίᾳ γράμματα καὶ λόγους παρὰ βασιλέως, τήν τε πόλιν αὐτοῖς ἀναστήσειν[203] ἐπαγγελλομένου καὶ χρήματα πολλὰ δώσειν καὶ τῶν Ἑλλήνων κυρίους καταστήσειν, ἐκ ποδῶν τοῦ πολέμου γενομένους[204]. Οἱ δὲ Λακεδαιμόνιοι, πυθόμενοι ταῦτα, καὶ δείσαντες, ἔπεμψαν Ἀθήναζε πρέσβεις, δεόμενοι τῶν Ἀθηναίων, ὅπως παῖδας μὲν καὶ γυναῖκας εἰς Σπάρτην ἀποστείλωσι, τοῖς δὲ πρεσβυτέροις[205] τροφὰς παρ' αὐτῶν λαμβάνωσιν· ἰσχυρὰ γὰρ ἦν ἀπορία[206] περὶ τὸν δῆμον ἀπολωλεκότα τὴν χώραν καὶ τὴν πόλιν. Οὐ μὴν ἀλλὰ τῶν πρέσβεων ἀκούσαντες[207], Ἀριστείδου ψήφισμα γράψαντος, ἀπεκρίναντο θαυμαστὴν ἀπόκρισιν· τοῖς μὲν πολεμίοις συγγνώμην ἔχειν φάσκοντες, εἰ πάντα πλούτου καὶ χρημάτων ὤνια[208] νομίζοιεν, ὧν[209] κρεῖττον οὐδὲν ἴσασιν· ὀργίζεσθαι δὲ Λακεδαιμονίοις, ὅτι τὴν πενίαν καὶ τὴν ἀπορίαν τὴν νῦν παροῦσαν Ἀθηναίοις μόνον ὁρῶσι, τῆς δ' ἀρετῆς καὶ τῆς φιλοτιμίας ἀμνημονοῦσιν, ἐπὶ σιτίοις[210] ὑπὲρ τῆς Ἑλλάδος ἀγωνίζεσθαι παρακαλοῦντες. Ταῦτα γράψας Ἀριστείδης, καὶ τοὺς πρέσβεις εἰς τὴν ἐκκλησίαν[211] παραγαγών, Λακεδαιμονίοις μὲν ἐκέλευε φράζειν, ὡς οὐκ ἔστι χρυσοῦ τοσοῦτον πλῆθος οὔθ' ὑπὲρ γῆν, οὔτε ὑπὸ γῆν, ὅσον Ἀθηναῖοι δέξαιντο ἂν πρὸ τῆς τῶν Ἑλλήνων ἐλευθερίας[212]. Τοῖς δὲ παρὰ Μαρδονίου[213] τὸν ἥλιον δείξας «Ἄχρις ἂν οὗτος (ἔφη) ταύτην πορεύηται τὴν πορείαν, Ἀθηναῖοι πολεμήσουσι Πέρσαις ὑπὲρ τῆς δεδῃωμένης χώρας, καὶ τῶν ἠσεβημένων[214] καὶ κατακεκαυμένων ἱερῶν». Ἔτι δ' ἀρὰς θέσθαι[215] τοὺς ἱερεῖς ἔγραψεν, εἴ τις

197) Ὁ Ξέρξης εἶχε ζεύξει διὰ γεφύρας τὸν Ἑλλήσποντον διὰ νὰ διαβῇ τὸ στράτευμά του. 198) Νὰ ἀφήσῃ, νὰ πάρῃ ὀπίσω. 199) Κ. § 402. 200) Ἔσπευδε. 201) Ἀπειλῶν (καθ' ὃ ὁρμώμενος) ἀπὸ ἰσχ. ἐλπίδος, διότι ἐστηρίζετο εἰς ἐλπίδα ἰσχυράν, ὅτι εἶχεν ἀκέραιον τὸν πεζὸν στρατόν. 202) Δοτ. περιπ. Καλὸν εἰς τοὺς ἱππεῖς διὰ νὰ ἀγωνισθῶσιν εἰς αὐτό. 203) Τὴν εἶχε καύσει ὁ Ξέρξης. 204) Ἂν παραιτηθῶσιν ἀπὸ τὸν πόλεμον. 205) Διὰ τοὺς πρεσβυτέρους. 206) Ἔνδεια. 207) Οἱ Ἀθ. 208) Ἀγοραζόμενα διὰ πλ. ἢ χρ. 209) Τῶν χρημάτων δηλ. 210) Κ. § 438, Ἐπί, Γ', 6. 211) Τὴν συνέλευσιν τοῦ λαοῦ. 212) Ἀντὶ τῆς ἐλ. ἢ προδίδοντες τὴν ἐλ. 213) Ἤκουσε. 214) Πρὸς ἃ οἱ Πέρσαι ἠσέβησαν. 215) Νὰ κηρύξωσι κατάρας.

ἐπιχειρήσαιτο[31] Μήδοις, ἢ τὴν συμμαχίαν ἀπολίποι τῶν Ἑλλήνων. Ἐμβαλόντος δὲ Μαρδονίου τὸ δεύτερον εἰς τὴν Ἀττικήν, αὖθις εἰς Σαλαμῖνα διεπέρασαν[216]. Ἀριστείδης δὲ πεμφθεὶς εἰς Λακεδαίμονα, τῆς μὲν βραδύτητος αὐτοῖς ἐνεκάλει[217] καὶ τῆς ὀλιγωρίας, προεμένοις αὖθις τῷ βαρβάρῳ τὰς Ἀθήνας, ἠξίου δὲ πρὸς τὰ ἔτι σωζόμενα[218] τῆς Ἑλλάδος βοηθεῖν. Ταῦτ' ἀκούσαντες οἱ Ἔφοροι, μεθ' ἡμέραν[219] μὲν ἐδόκουν παίζειν καὶ ῥᾳθυμεῖν[220] ἑορτάζοντες· ἦν γὰρ αὐτοῖς Ὑακίνθια[221]· νυκτὸς δὲ πεντακισχιλίους Σπαρτιατῶν ἐπιλέξαντες, ὧν ἕκαστος ἑπτὰ περὶ αὑτὸν Εἵλωτας εἶχεν, ἐξέπεμψαν οὐκ εἰδότων τῶν Ἀθηναίων. Ἐπεὶ δὲ πάλιν ἐγκαλῶν ὁ Ἀριστείδης προσῆλθεν, οἱ δὲ σὺν γέλωτι ληρεῖν αὐτὸν ἔφασκον[222] καὶ καθεύδειν· ἤδη γὰρ ἐν Ὀρεστίῳ[223] τὸν στρατὸν εἶναι πορευόμενον ἐπὶ τοὺς ξένους (ξένους γὰρ ἐκάλουν τοὺς Πέρσας), οὐ κατὰ καιρὸν[224] ἔφη παίζειν αὐτοὺς ὁ Ἀριστείδης, ἀντὶ τῶν πολεμίων τοὺς φίλους ἐξαπατῶντας. Ταῦθ' οἱ περὶ τὸν Ἰδομενέα[31] λέγουσιν. Ἐν δὲ τῷ ψηφίσματι τοῦ Ἀριστείδου[225] πρεσβευτὴς οὐκ αὐτός, ἀλλὰ Κίμων καὶ Ξάνθιππος καὶ Μυρωνίδης φέρονται.

Χειροτονηθεὶς δὲ στρατηγὸς αὐτοκράτωρ[163] ἐπὶ τὴν μάχην[226] καὶ τῶν Ἀθηναίων ὀκτακισχιλίους ὁπλίτας ἀναλαβών, ἧκεν εἰς Πλαταιάς. Ἐκεῖ δὲ Παυσανίας[227], ὁ τοῦ σύμπαντος ἡγούμενος Ἑλληνικοῦ[228], συνέμιξεν ἔχων τοὺς Σπαρτιάτας· καὶ τῶν ἄλλων Ἑλλήνων ἐπέρρει[229] τὸ πλῆθος. Τῶν δὲ βαρβάρων τὸ μὲν ὅλον τῆς στρατοπεδείας παρὰ τὸν Ἀσωπὸν[230] ποταμὸν παρεκτεταμένης, οὐδεὶς ἦν ὅρος διὰ μέγεθος[231]· περὶ δὲ τὰς ἀποσκευὰς καὶ τὰ κυριώτατα[232] τεῖχος περιεφράξαντο τετράγωνον, οὗ τῶν πλευρῶν ἑκάστη μῆκος ἦν δέκα σταδίων. Παυσανίᾳ μὲν οὖν καὶ τοῖς Ἕλλησι κοινῇ Τισαμενὸς ὁ Ἠλεῖος[233] ἐμαντεύσατο καὶ προεῖπε νίκην ἀμυνομένοις καὶ μὴ προεπιχειροῦσιν[234], Ἀριστείδου δὲ πέμψαντος εἰς Δελφοὺς ἀνεῖλεν[235] ὁ θεός, « Ἀθηναίους καθυπερτέρους ἔσεσθαι τῶν ἐναντίων, εὐχομένους τῷ Διΐ, καὶ τῇ Ἥρᾳ τῇ Κιθαιρωνίᾳ, καὶ Πανὶ καὶ νύμφαις Σφραγίτισι· καὶ θύοντας ἥρωσιν, Ἀνδροκράτει, Λεύκωνι, Πεισάνδρῳ, Δαμοκράτει, Ὑψίωνι, Ἀκταίωνι, Πολυΐδῳ· καὶ τὸν κίνδυνον ἐν γᾷ[236] ἰδίᾳ ποιουμένους ἐν τῷ πεδίῳ τᾶς Δάματρος τᾶς[236] Ἐλευσινίας καὶ τᾶς Κόρας[237] ». Οὗτος ὁ χρησμὸς ἀπενεχθεὶς[238], ἀπορίαν τῷ Ἀριστείδῃ παρεῖχεν. Οἱ μὲν γὰρ ἥρωες, οἷς ἐκέλευε

---

216) Οἱ Ἀθηναῖοι. 217) Δοτ. ἐκ γ΄. καὶ γεν. ἐλλ. ἐκ δ΄. 218) Μέρη.

219) Εἰς τὸ διάστημα τῆς ἡμέρας 220) Ἀργεῖν. 221) Ἑορτὴ τοῦ Ὑακίνθου, νέου τὸν ὁποῖον κατὰ λάθος ἐφόνευσεν ὁ Ἀπόλλων μὲ τὸν δίσκον καὶ μετέβαλεν εἰς τὸ ὁμώνυμον ἄνθος. 222) Ἐπεὶ ἔφασκεν, ἔφη. 223) Μέρος τῆς Ἀρκαδίας, ὅπου ἐκτίσθη ἡ Μεγαλόπολις. 224) Ἐν ἁρμοδίῳ καιρῷ. 225) Τὸ ὁποῖον ἔγραψεν ὁ Ἀρ. Ἴδε ἀνωτέρω. 226) Ὁ Μαρδόνιος μὲ τὸν πεζὸν στρατὸν τὸν ὁποῖον ὁ Ξέρξης τῷ ἄφησεν ἐκινήθη κατὰ τῆς Βοιωτίας, καὶ ἐστρατοπέδευσεν εἰς τὴν πεδιάδα τῶν Πλαταιῶν, ὅπου οἱ Ἕλληνες ἡτοιμάζοντο νὰ τὸν ἀντικρούσωσι. 227) Βασιλεὺς τῆς Σπάρτης. 228) Δηλ. ὅλων τῶν Ἑλλήνων. 229) Συνέρρεον, ἔφθανον πανταχόθεν 230) Ῥύαξ κατερχόμενος ἀπὸ τὸ ὄρος τὸν Κιθαιρῶνα, βορειανατολικῶς τῶν Πλαταιῶν. 231) Τὸ μῆκός των ἦτον ἀπέραντον. 232) Τὰ ἀναγκαιότατα ἢ πολυτιμότατα τῶν σκευῶν του. 233) Μάντις ἐκ τῆς Ἤλιδος. 234) Ἂν δὲν ἀρχίσωσιν αὐτοὶ τὴν μάχην, ἀλλ' ἀποκρούσωσι μόνον τὸν ἐχθρόν. 235) Ἀπεκρίθη, ἐδ. χρησμοῦ.

236) Δωρικῶς τὸ η τρέπεται εἰς α. Οἱ Δελφοὶ ἦσαν Δωριεῖς. Καὶ ὁ Ἀπόλλων ἦτον ὁ κατ' ἐξοχὴν θεὸς τῆς φυλῆς τῶν Δωριέων 237) Κόρη εἶναι ἡ κόρη τῆς Δήμητρος Περσεφόνη.

238) Ἀποφέρω. Κομισθείς.

δειν, ἀρχηγέται[209] Πλαταιέων ἦσαν, καὶ τὸ τῶν Σφραγιτίδων νυμφῶν ἄντρον ἐν μιᾷ κορυφῇ τοῦ Κιθαιρῶνός ἐστιν εἰς δυσμὰς ἡλίου θερινὰς τετραμμένον[210], ἐν ᾧ καὶ μαντεῖον ἦν πρότερον, ὥς φασι, καὶ πολλοὶ κατείχοντο[211] τῶν ἐγχωρίων, οὓς Νυμφολήπτους[212] προσηγόρευον. Τὸ δὲ τῆς Ἐλευσινίας Δήμητρος πεδίον, καὶ τὸ τὴν μάχην ἐν ἰδίᾳ χώρᾳ ποιουμένοις τοῖς Ἀθηναίοις νίκην δίδοσθαι, πάλιν εἰς τὴν Ἀττικὴν ἀνεκαλεῖτο καὶ μεθίστη τὸν πόλεμον. Ἔνθα τῶν Πλαταιέων ὁ στρατηγός, Ἀρίμνηστος, ἔδοξε κατὰ τοὺς ὕπνους ὑπὸ τοῦ Διὸς τοῦ Σωτῆρος ἐπερωτώμενον αὐτὸν[213], ὅ,τι δὴ πράττειν δέδοκται τοῖς Ἕλλησιν; εἰπεῖν « Αὔριον εἰς Ἐλευσῖνα τὴν στρατιὰν ἀπάξομεν, ὦ δέσποτα, καὶ διαμαχούμεθα τοῖς βαρβάροις ἐκεῖ κατὰ τὸ πυθόχρηστον[214] ». Τὸν οὖν θεὸν φάναι διαμαρτάνειν αὐτοὺς τοῦ παντός[215]· αὐτόθι γὰρ εἶναι περὶ τὴν Πλαταϊκὴν τὰ πυθόχρηστα, καὶ ζητοῦντας ἀνευρήσειν. Τούτων ἐναργῶς τῷ Ἀριμνήστῳ φανέντων, ἐξεγειρόμενος[216] τάχιστα μετεπέμψατο τοὺς ἐμπειροτάτους καὶ πρεσβυτάτους τῶν πολιτῶν μεθ' ὧν διαλεγόμενος καὶ συνδιαπορῶν[217], εὗρεν ὅτι τῶν Ὑσιῶν[218] πλησίον ὑπὸ τὸν Κιθαιρῶνα, ναός ἐστιν ἀρχαῖος πάνυ Δήμητρος Ἐλευσινίας καὶ Κόρης προσαγορευόμενος. Εὐθὺς οὖν παραλαβὼν τὸν Ἀριστείδην ἦγεν ἐπὶ τὸν τόπον, εὐφυέστατον ὄντα παρατάξαι φάλαγγα πεζικὴν ἱπποκρατουμένους[219], διὰ τὰς ὑπωρείας τοῦ Κιθαιρῶνος, ἄφιππα[220] ποιούσας τὰ καταλήγοντα καὶ συγκυροῦντα τοῦ πεδίου[221] πρὸς τὸ ἱερόν. Αὐτοῦ[222] δ' ἦν καὶ τὸ τοῦ Ἀνδροκράτους ἡρῷον ἐγγύς, ἄλσει πυκνῶν καὶ συσκίων δένδρων περιεχόμενον. Ὅπως δὲ μηδὲν ἐλλιπὲς ἔχῃ πρὸς τὴν ἐλπίδα τῆς νίκης ὁ χρησμός, ἔδοξε τοῖς Πλαταιεῦσιν, Ἀριμνήστου γνώμην εἰπόντος, ἀνελεῖν τὰ πρὸς τὴν Ἀττικὴν ὅρια τῆς Πλαταιΐδος, καὶ τὴν χώραν[223] ἐπιδοῦναι τοῖς Ἀθηναίοις ὑπὲρ τῆς Ἑλλάδος[224], (ὥστ') ἐν οἰκείᾳ κατὰ τὸν χρησμὸν ἐναγωνίσασθαι. Ταύτην μὲν οὖν τὴν φιλοτιμίαν τῶν Πλαταιέων οὕτω συνέβη περιβόητον γενέσθαι, ὥστε καὶ Ἀλέξανδρον, ἤδη βασιλεύοντα τῆς Ἀσίας, ὕστερον πολλοῖς ἔτεσι τειχίζοντα τὰς Πλαταιάς[225], ἀνειπεῖν Ὀλυμπιάσιν ὑπὸ κήρυκος[226], ὅτι ταύτην[227] ὁ βασιλεὺς ἀποδίδωσι Πλαταιεῦσι τῆς ἀνδραγαθίας καὶ τῆς μεγαλοψυχίας χάριν, ἐπειδὴ τοῖς Ἕλλησιν ἐν τῷ Μηδικῷ πολέμῳ τὴν χώραν ἐπέδωκαν καὶ παρέσχον αὐτοὺς προθυμοτάτους.

---

209) Πρῶτοι οἰκισταί. 210) Δηλ. πρὸς τὸ βορειοδυτικόν, διότι τὸ θέρος ὁ ἥλιος δύει βορειότερα. 211) Κατείχοντο ὑπὸ τῶν Νυμφῶν, δηλ. ἐνθουσίων.
212) Νυμφόληπτοι ἐκαλοῦντο οἱ μανιώδεις γενόμενοι δι' ἐμπνεύσεως τῶν Νυμφῶν.
213) Ἡ αὐτοπ. ἀντων. διότι τὸ ὑποκείμενον τοῦ ῥήματος εἶναι τὸ αὐτὸ μὲ τὸ τοῦ ἀπαρεμφάτου, ὅπου ἐδύνατο νὰ τεθῇ καὶ ἐ ρ ω τ ώ μ ε ν ο ς εἰς ὀνομαστικήν. Εἶδε καθ' ὕπνον ὅτι ἐρωτώμενος ὑπὸ τοῦ Διὸς εἶπε. 214) Τὸν χρησμὸν τῆς Πυθίας. Πυθία δὲ ἦν ἡ ἱέρεια τῶν Δελφῶν. 215) Ὅτι ἐντελῶς ἀπατῶνται. 216) Ἴσως ἐξεγρόμενος. 217) Εὑρισκόμενος μετ' αὐτῶν εἰς ἀπορίαν. 218) Πόλις τῆς Βοιωτίας. Ὁ Παυσ. εἶδε τὰ ἐρείπιά της. 219) Τοῖς Ἕλλησιν ἱπποκρατουμένοις, δηλ. οὖσι κατωτέροις κατὰ τὸ ἱππικὸν ἀπὸ τοὺς Πέρσας.
220) Ἀνεπιτήδεια πρὸς ἱππασίαν. 221) Τὰ μέρη τῆς πεδιάδος τὰ ὁποῖα ἔληγον καὶ ἐσυναντῶντο. 222) Ἐκεῖ. 223) Ἐκείνην τοῦ ἱεροῦ. 224) Ἐπειδὴ δηλ. τοῦτο ἀπῄτει τὸ συμφέρον τῆς Ἑλλάδος. 225) Εἰς τὸν Πελοποννησιακὸν πόλεμον οἱ Λακεδαιμόνιοι κατέσκαψαν τὰς Πλαταιάς. Μετὰ ταῦτα δὲ ὁ Ἀλέξανδρος τὰς ἀνήγειρε πάλιν. 226) Ἀνειπεῖν ὑπὸ κήρυκος, περίφρ. τοῦ κηρύξαι. 227) Τὴν πόλιν.

Ἀθηναίοις δὲ Τεγεᾶται[258] περὶ τάξεως ἐρίσαντες, ἠξίουν, ὥσπερ ἀεὶ, Λακεδαιμονίων τὸ δεξιὸν ἐχόντων κέρας, αὐτοὶ τὸ εὐώνυμον ἔχειν, πολλὰ τοὺς αὐτῶν προγόνους ἐγκωμιάζοντες. Ἀγανακτούντων δὲ τῶν Ἀθηναίων, παρελθὼν ὁ Ἀριστείδης, εἶπε· «Τεγεάταις μὲν ἀντειπεῖν περὶ εὐγενείας καὶ ἀνδραγαθίας ὁ παρὼν καιρὸς οὐ δίδωσι[259]· πρὸς δ' ὑμᾶς, ὦ Σπαρτιᾶται, καὶ τοὺς ἄλλους Ἕλληνας λέγομεν, ὅτι τὴν ἀρετὴν οὐκ ἀφαιρεῖται τόπος οὐδὲ δίδωσιν· ἣν δ' ἂν ὑμεῖς ἡμῖν τάξιν ἀποδῶτε, πειρασόμεθα κοσμοῦντες[260] καὶ φυλάττοντες μὴ καταισχύνειν τοὺς προηγωνισμένους ἀγῶνας. Ἥκομεν γὰρ οὐ τοῖς συμμάχοις στασιάσοντες, ἀλλὰ μαχούμενοι τοῖς πολεμίοις, οὐδ' ἐπαινεσόμενοι τοὺς πατέρας, ἀλλ' αὐτοὺς ἄνδρας ἀγαθοὺς τῇ Ἑλλάδι παρέξοντες[261]· ὡς οὗτος ὁ ἀγὼν δείξει καὶ πόλιν[262] καὶ ἄρχοντα καὶ ἰδιώτην, ὁπόσου τοῖς Ἕλλησιν ἄξιός ἐστι». Ταῦτ' ἀκούσαντες οἱ σύνεδροι καὶ ἡγεμόνες, ἀπεδέξαντο τοὺς Ἀθηναίους, καὶ θάτερον[263] αὐτοῖς κέρας ἀπέδοσαν.

Οὔσης δὲ μετεώρου[264] τῆς Ἑλλάδος, καὶ μάλιστα τοῖς Ἀθηναίοις τῶν πραγμάτων ἐπισφαλῶς ἐχόντων[265], ἄνδρες ἐξ οἴκων ἐπιφανῶν καὶ χρημάτων μεγάλων, πένητες ὑπὸ τοῦ πολέμου γεγονότες, καὶ πᾶσαν ἅμα τῷ πλούτῳ τὴν ἐν τῇ πόλει δύναμιν αὐτῶν καὶ δόξαν οἰχομένην ὁρῶντες, ἑτέρων τιμωμένων καὶ ἀρχόντων, συνῆλθον εἰς οἰκίαν τινὰ τῶν ἐν Πλαταιαῖς κρύφα, καὶ συνωμόσαντο καταλύσειν τὸν δῆμον[266]· εἰ δὲ μὴ προχωροίη[267], λυμανεῖσθαι τὰ πράγματα[268], καὶ τοῖς βαρβάροις προδώσειν. Πραττομένων δὲ τούτων ἐν τῷ στρατοπέδῳ, καὶ συχνῶν ἤδη διεφθαρμένων[269], αἰσθόμενος ὁ Ἀριστείδης, καὶ φοβηθεὶς τὸν καιρὸν, ἔγνω μήτ' ἐᾶν ἀμελούμενον τὸ πρᾶγμα, μήθ' ἅπαν ἐκκαλύπτειν, ἀγνοούμενον[270] εἰς ὅσον ἐκβήσεται πλῆθος ὁ ἔλεγχος[271], τὸν τοῦ δικαίου ζητῶν ὅρον ἀντὶ τοῦ συμφέροντος. Ὀκτὼ δή τινας ἐκ πολλῶν συνέλαβε, καὶ τούτων δύο μὲν, οἷς πρώτοις ἡ κρίσις προσεγράφη, οἳ καὶ πλείστην αἰτίαν[272] εἶχον, Αἰσχίνης Λαμπρεὺς[273] καὶ Ἀγησίας Ἀχαρνεὺς[274], ᾤχοντο φεύγοντες ἐκ τοῦ στρατοπέδου· τοὺς δ' ἄλλους ἀφῆκε, θαρσῆσαι διδοὺς[275] καὶ μεταγνῶναι τοῖς ἔτι λανθάνειν[276] οἰομένοις, ὑπειπὼν ὡς μέγα δικαστήριον ἔχουσι τὸν πόλεμον, ἀπολύσασθαι τὰς αἰτίας[277], ὀρθῶς καὶ δικαίως τῇ πατρίδι[278] βουλευόμενοι.

Μετὰ ταῦτα Μαρδόνιος, ᾧ[279] πλεῖστον ἐδόκει διαφέρειν τῶν Ἑλλήνων, ἀπεπειρᾶτο, τὴν ἵππον ἀθρόαν αὐτοῖς ἀφεὶς καθεζομένοις ὑπὸ τὸν πρόποδα τοῦ Κιθαιρῶνος, ἐν χωρίοις ὀχυροῖς καὶ πετρώδεσι, πλὴν Μεγαρέων. Οὗτοι

---

258) Κάτοικοι τῆς Τεγέας, παλαιοτάτης πόλεως τῆς Ἀρκαδίας. 259) Δὲν συγχωρεῖ.
260) Τιμῶντες δηλ. διὰ τῆς ἀνδρείας. 261) Δηλ. νὰ δειχθῶμεν ἀνδρεῖοι ὑπὲρ τῆς Ἑλλάδος. 262) Δηλ. θέλει δείξει κατὰ πόσον ἑκάστη πόλις κτλ. ἀξίζει εἰς τοὺς Ἕλληνας.
263) τὸ ἓν ἐκ τῶν δύο. 264) Ἀνήσυχος, ἀναστατωμένη. 265) Μὴ ὄντων ἀσφαλῶν.
266) Νὰ ἀνατρέψωσι τὴν δημοκρατίαν. 267) Ἂν δὲν ἐπετύγχανεν ἡ συνωμοσία.
268) Νὰ καταστρέψωσι τὰ πράγματα (τὰ συμφέροντα τῆς Ἑλλάδος).
269) Δηλ. κερδηθέντων εἰς τὴν συνωμοσίαν. 270) Κ. § 430. 271) Ἡ ἐξέτασις πόσον πλῆθος συνωμοτῶν ἤθελε δείξει. 272) Ἐνοχήν. 273) Τὸ ὀρθὸν Λαμπτρεύς. Ἀπὸ τὰ Λάμπτρα, δῆμον τῆς Ἀττικῆς, τὴν σήμερον Λάμπουρα. 274) Ἀπὸ τὸν δῆμον Ἀχαρνῶν τῆς Ἀττικῆς, τὴν σήμερον Μενίδι. 275) Δοὺς ἀφορμήν. 276) Ὅτι δὲν ἐνοήθησαν. 277) Νὰ ἀπαλλαχθῶσι τῆς ἐνοχῆς. 278) Ὑπὲρ τῆς πατρ. 279) Ἀπεπειρᾶτο τῷ ὅπλῳ ᾧ, δηλ. τῇ ἵππῳ.

δὲ τρισχίλιοι τὸ πλῆθος ὄντες τοῖς ἐπιπέδοις μᾶλλον ἐστρατοπεδεύοντο· διὸ καὶ κακῶς ἔπασχον ὑπὸ τῆς ἵππου ῥυείσης[330] ἐπ' αὐτοὺς καὶ προσβολὰς[331] ἐχούσης πανταχόθεν. Ἔπεμψαν οὖν ἄγγελον κατὰ τάχος πρὸς Παυσανίαν, βοηθεῖν κελεύοντες, ὡς οὐ δυνάμενοι καθ' αὑτοὺς ὑποστῆναι τὸ τῶν βαρβάρων πλῆθος. Ταῦτα Παυσανίας ἀκούων, ἤδη δὲ καὶ καθορῶν ἀποκεκρυμμένον ἀκοντισμάτων καὶ τοξευμάτων πλήθει τὸ στρατόπεδον τῶν Μεγαρέων[332], καὶ συνεσταλμένους αὐτοὺς εἰς ὀλίγον[333], αὐτὸς μὲν ἀμήχανος ἦν[334] πρὸς ἱππότας ἀμύνειν, ὁπλιτικῇ φάλαγγι καὶ βαρείᾳ τῇ Σπαρτιατῶν· τοῖς δ' ἄλλοις στρατηγοῖς καὶ λοχαγοῖς τῶν Ἑλλήνων περὶ αὐτὸν οὖσι προὔθετο ζῆλον ἀρετῆς καὶ φιλοτιμίας, εἰ δή τινες ἑκόντες ἀναδέξαιντο προαγωνίσασθαι καὶ βοηθῆσαι τοῖς Μεγαρεῦσι. Τῶν δ' ἄλλων ὀκνούντων, Ἀριστείδης ἀναδεξάμενος ὑπὲρ τῶν Ἀθηναίων[335] τὸ ἔργον, ἀποστέλλει τὸν προθυμότατον τῶν λοχαγῶν Ὀλυμπιόδωρον, ἔχοντα τοὺς ὑφ' ἑαυτὸν τεταγμένους λογάδας[336] τριακοσίους, καὶ τοξότας ἀναμεμιγμένους σὺν αὐτοῖς. Τούτων ὀξέως διεσκευασμένων[337] καὶ προσφερομένων δρόμῳ, Μασίστιος, ὁ τῶν βαρβάρων ἵππαρχος, ἀνὴρ ἀλκῇ τε θαυμαστός, μεγέθει τε καὶ κάλλει σώματος περιττὸς[338], ὡς κατεῖδεν[339], ἐναντίον ἐπιστρέψας τὸν ἵππον, εἰς αὐτοὺς ἤλαυνε. Τῶν δ' ἀνασχομένων[340] καὶ συμβαλλόντων ἦν ἀγὼν καρτερός, ὡς πεῖραν ἐν τούτῳ τοῦ παντὸς λαμβανόντων[341]. Ἐπεὶ δὲ τοξευθεὶς ὁ ἵππος τὸν Μασίστιον ἀπέῤῥιψε, καὶ πεσὼν ὑπὸ βάρους τῶν ὅπλων αὐτός τε δυσκίνητος ἦν ἀναφέρειν[342], καὶ τοῖς Ἀθηναίοις ἐπικειμένοις[343] καὶ παίουσι δυσμεταχείριστος[344], οὐ μόνον στέρνα καὶ κεφαλήν, ἀλλὰ καὶ τὰ γυῖα χρυσῷ καὶ χαλκῷ καὶ σιδήρῳ καταπεφραγμένος· τοῦτον μὲν ᾗ[345] τὸ κράνος ὑπέφαινε τὸν ὀφθαλμόν, ἀκοντίου στύρακι παίων τις ἀνεῖλεν· οἱ δ' ἄλλοι Πέρσαι προέμενοι τὸν νεκρόν, ἔφευγον. Ἐγνώσθη δὲ τοῦ κατορθώματος τὸ μέγεθος τοῖς Ἕλλησιν οὐκ ἀπὸ τῶν νεκρῶν τοῦ πλήθους· ὀλίγοι γὰρ οἱ πεσόντες ἦσαν· ἀλλὰ τῷ πένθει τῶν βαρβάρων. Καὶ γὰρ ἑαυτοὺς ἔκειρον ἐπὶ τῷ Μασιστίῳ[346], καὶ ἵππους καὶ ἡμιόνους, οἰμωγῆς τε καὶ κλαυθμοῦ τὸ πεδίον ἐνεπίμπλασαν, ὡς ἄνδρα πολὺ πρῶτον ἀρετῇ καὶ δυνάμει μετά γε Μαρδόνιον αὐτὸν ἀποβαλόντες.

Μετὰ δὲ τὴν ἱππομαχίαν ἀμφότεροι μάχης ἔσχοντο[347] χρόνον πολύν. Ἀμυνομένοις γὰρ οἱ μάντεις νίκην προὔφαινον ἐκ τῶν ἱερῶν[348] ὁμοίως καὶ τοῖς Πέρσαις καὶ τοῖς Ἕλλησιν· εἰ δ' ἐπιχειροῖεν[349], ἧτταν. Ἔπειτα Μαρδόνιος, ὡς αὐτῷ μὲν ἡμερῶν ὀλίγων τὰ ἐπιτήδεια περιῆν, οἱ δ' Ἕλληνες ἀεί τινων ἐπιῤῥεόντων, πλείονες ἐγίνοντο, δυσανασχετῶν ἔγνω μηκέτι μένειν, ἀλλὰ διαβὰς ἅμα φάει τὸν Ἀσωπὸν ἐπιθέσθαι τοῖς Ἕλλησιν ἀπροσ-

---

330) Ἐφορμησάσης. 331) Μέρη ὅπου νὰ προσβάλῃ. 332) Ὅτι τὰ ἀκόντια τὰ ὁποῖα ἔῤῥιπτον οἱ Πέρσαι ἐκάλυπτον τὸ στρατόπεδον τῶν Μεγαρέων. 333) Τόπον. 334) Δὲν ἐδύνατο. 335) Ἐν ὀνόματι τῶν Ἀθηναίων. 336) Ἐκλεκτούς. 337) Ταχέως παρασκευασθέντων. 338) Ἔξοχος. 339) Αὐτούς. 340) Ἀνέχομαι· ὑπέμενον τὴν προσβολήν του. 341) Ἀπὸ τὸν ἀγῶνα τοῦτον λαμβάνοντες παράδειγμα ἢ δοκιμὴν τοῦ ὅλου ἀγῶνος. 342) Ὥστε ἂν νὰ ἐγερθῇ. 343) Ἐφορμῶσι. 344) Δύσκολος εἰς τὸ νὰ φονευθῇ. 345) Ὅπου. 346) Διὰ τὸν θάνατον τοῦ Μ. 347) Ἀπεῖχον. 348) Ἀπὸ τὴν ἐξέτασιν τῶν σπλάγχνων τῶν θυμάτων. 349) Ἂν πρῶτοι ἐκινοῦντο κατὰ τῶν ἐχθρῶν.

δοκήτως· καὶ παράγγελμα[500] τοῖς ἡγεμόσιν ἑσπέρας ἔδωκε. Μεσούσης δὲ μάλιστα τῆς νυκτός, ἀνὴρ ἵππον ἔχων, ἀτρέμα προσεμίγνυε[501] τῷ στρατοπέδῳ τῶν Ἑλλήνων· ἐντυχὼν δὲ ταῖς φυλακαῖς, ἐκέλευεν αὐτῷ προσελθεῖν Ἀριστείδην τὸν Ἀθηναῖον. Ὑπακούσαντος δὲ ταχέως[502], ἔφησεν «Εἰμὶ μὲν Ἀλέξανδρος[503], ὁ Μακεδόνων βασιλεύς, ἥκω δὲ κινδύνων τὸν μέγιστον εὐνοίᾳ τῇ πρὸς ὑμᾶς αἰρούμενος[504], ὡς τὸ μὴ αἰφνίδιον ἐκπλήξοιεν ὑμᾶς χεῖρον ἀγωνίσασθαι[505]. Μαχεῖται γὰρ ὑμῖν ὁ Μαρδόνιος αὔριον, οὐχ ὑπ' ἐλπίδος[506] χρηστῆς, οὐδὲ θάρσους, ἀλλ' ἀπορίας τῶν παρόντων[507]· ἐπεὶ καὶ μάντεις ἐκεῖνον ἀπαισίοις ἱεροῖς καὶ λογίοις χρησμῶν εἴργουσι μάχης, καὶ τὸν στρατὸν ἔχει δυσθυμία πολλὴ καὶ κατάπληξις. Ἀλλ' ἀνάγκη τολμῶντα πειρᾶσθαι τῆς τύχης, ἢ τὴν ἐσχάτην ὑπομένειν ἀπορίαν καθεζόμενον.» Ταῦτα φράσας ὁ Ἀλέξανδρος, ἐδεῖτο τὸν Ἀριστείδην αὐτὸν[508] εἰδέναι καὶ μνημονεύειν, ἑτέρῳ δὲ μὴ κατειπεῖν. Ὁ δ' οὐ καλῶς ἔχειν ἔφη ταῦτα Παυσανίαν ἀποκρύψασθαι· ἐκείνῳ γὰρ ἀνακεῖσθαι[509] τὴν ἡγεμονίαν· πρὸς δὲ τοὺς ἄλλους ἄῤῥητα πρὸ τῆς μάχης ἔδοξεν ἔσεσθαι[510]· νικώσης[511] δὲ τῆς Ἑλλάδος, οὐδένα τὴν Ἀλεξάνδρου προθυμίαν καὶ ἀρετὴν ἀγνοήσειν. Λεχθέντων δὲ τούτων, ὅ τε βασιλεὺς τῶν Μακεδόνων ἀπήλαυνεν ὀπίσω πάλιν, ὅ τ' Ἀριστείδης ἀφικόμενος ἐπὶ τὴν σκηνὴν τοῦ Παυσανίου, διηγεῖτο τοὺς λόγους· καὶ μετεπέμποντο τοὺς ἄλλους ἡγεμόνας, καὶ παρήγγελλον ἐν κόσμῳ[512] τὸν στρατὸν ἔχειν, ὡς μάχης ἐσομένης.

Ἐν τούτῳ δ', ὡς Ἡρόδοτος ἱστορεῖ[513], Παυσανίας Ἀριστείδῃ προσέφερε λόγον, ἀξιῶν τοὺς Ἀθηναίους ἐπὶ τὸ δεξιὸν μεταταξαι, καὶ κατὰ τοὺς Πέρσας[514] ἀντιταχθῆναι· βέλτιον γὰρ ἀγωνιεῖσθαι, τῆς τε μάχης ἐμπείρους γεγονότας, καὶ τῷ προνενικηκέναι[515] θαῤῥοῦντας· αὐτῷ δὲ παραδοῦναι τὸ εὐώνυμον, ὅπου τῶν Ἑλλήνων οἱ μηδίζοντες ἐπιβάλλειν[516] ἔμελλον. Οἱ μὲν οὖν ἄλλοι στρατηγοὶ τῶν Ἀθηναίων ἀγνώμονα καὶ φορτικὸν ἡγοῦντο τὸν Παυσανίαν, εἰ τὴν ἄλλην ἐῶν τάξιν ἐν χώρᾳ[517], μόνους ἄνω καὶ κάτω μεταφέρει σφᾶς, ὥσπερ Εἵλωτας[518], κατὰ τὸ μαχιμώτατον[519] προβαλλόμενος. Ὁ δ' Ἀριστείδης διαμαρτάνειν αὐτοὺς ἔφασκε τοῦ παντός, εἰ πρώην μὲν ὑπὲρ τοῦ τὸ εὐώνυμον κέρας ἔχειν διεφιλοτιμοῦντο Τεγεάταις, καὶ προκριθέντες ἐσεμνύνοντο· νῦν δέ, Λακεδαιμονίων ἑκουσίως αὐτοῖς[520] ἐξισταμένων τοῦ δεξιοῦ, καὶ τρόπον τινὰ τὴν ἡγεμονίαν παραδιδόντων, οὔτε τὴν δόξαν ἀγαπῶσιν, οὔτε κέρδος ἡγοῦνται τὸ μὴ πρὸς ὁμοφύλους καὶ συγγενεῖς, ἀλλὰ βαρβάρους καὶ φύσει πολεμίους ἀνταγωνίσασθαι.

---

500) Τὰς διαταγάς του. 501) Ἐπλησίαζε. 502) Τοῦ Ἀρ. 503) Πρόγονος τοῦ μεγάλου Ἀλεξάνδρου. 504) Ἐκλέξας δι' ἐμαυτὸν τὸν μέγιστον κίνδυνον ἀπὸ εὔνοιαν πρὸς σᾶς.
505) (Ὥστε) χεῖρον ἀγωνίσασθαι. 506) Πεποιθ. αἴτιον, ὡς ἔχων ἐλπίδα. 507) Τῆς παρούσης καταστάσεως. 508) Αὐτὸς μόνος του. 509) Ὅτι εἰς ἐκεῖνον εἶναι ἀνατεθειμένη.
510) Τῷ ἐφάνη εὔλογον νὰ ἦναι. 511) Ἂν ἐνίκα. 512) Ἑτοιμασμένον. 513) Ἡροδ. Βιβλ. Θ'. 514) Ἀντικρὺ εἰς τοὺς Πέρσας, οἱ ὁποῖοι εἶχον τὸ ἀριστερὸν κέρας τοῦ βαρβαρικοῦ.
515) Διὰ τὸ ὅτι προενίκησαν. 516) Νὰ κτυπήσουν, νὰ ὁρμήσουν. 517) Εἰς τὸν τόπον της.
518) Εἵλωτες ἦσαν οἱ ἀρχαῖοι κάτοικοι τῆς Λακωνίας, τοὺς ὁποίους οἱ Δωριεῖς Σπαρτιᾶται καθυποτάξαντες κατέστησαν δούλους. 519) Εἰς τὸ μέρος ὅπου ἡ μάχη ἔμελλε νὰ ἦναι σφοδροτάτη, ἢ εἰς τὸ μαχιμώτατον μέρος τοῦ ἐχθροῦ. 520) Πρὸς χάριν αὐτῶν παραιτουμένου τοῦ δεξιοῦ.

Ἐκ τούτου πάνυ προθύμως οἱ Ἀθηναῖοι διημείβοντο τοῖς Σπαρτιάταις τὴν τάξιν καὶ λόγος ἐχώρει[521] δι' αὐτῶν πολὺς ἀλλήλοις παρεγγυώντων[522]. « Ὡς οὔτε ὅπλα βελτίω λαβόντες, οὔτε ψυχὰς ἀμείνους, οἱ πολέμιοι τῶν ἐν Μαραθῶνι προσίασιν, ἀλλὰ ταὐτὰ μὲν ἐκείνοις τόξα, ταὐτὰ δ' ἐσθῆτος ποικίλματα, καὶ χρυσὸς ἐπὶ σώμασι μαλακοῖς καὶ ψυχαῖς ἀνάνδροις· ἡμῖν δ' ὅμοια μὲν ὅπλα καὶ σώματα, μεῖζον δὲ ταῖς νίκαις[523] τὸ θάρσος· ὁ δ' ἀγὼν οὐχ ὑπὲρ χώρας καὶ πόλεως μόνον, ὡς ἐκείνοις[524], ἀλλ' ὑπὲρ τῶν ἐν Μαραθῶνι καὶ Σαλαμῖνι τροπαίων, ὡς μηδ' ἐκεῖνα Μιλτιάδου δοκοίη[525] καὶ τύχης, ἀλλ' Ἀθηναίων ». Οὗτοι μὲν οὖν σπεύδοντες, ἐν ἀμείψει[526] τῶν τάξεων ἦσαν· αἰσθόμενοι δὲ Θηβαῖοι[527] παρ' αὐτομόλων, Μαρδονίῳ φράζουσι. Κἀκεῖνος εὐθύς, εἴτε δεδιὼς τοὺς Ἀθηναίους, εἴτε τοῖς Λακεδαιμονίοις συμπεσεῖν φιλοτιμούμενος, ἀντιπαρεξῆγε[528] τοὺς Πέρσας ἐπὶ τὸ δεξιόν· τοὺς δ' Ἕλληνας ἐκέλευε τοὺς σὺν αὐτῷ κατὰ τοὺς Ἀθηναίους ἵστασθαι. Γενομένης δὲ τῆς μετακοσμήσεως καταφανοῦς, ὅ τε Παυσανίας ἀποτραπεὶς αὖθις ἐπὶ τοῦ δεξιοῦ κατέστη, καὶ Μαρδόνιος, ὥσπερ εἶχεν ἐξ ἀρχῆς, εὐθὺς[529] ἀνέλαβε τὸ εὐώνυμον, κατὰ τοὺς Λακεδαιμονίους γενόμενος. Ἥ τε ἡμέρα διεξῆλθεν ἀργή. Καὶ τοῖς Ἕλλησι βουλευομένοις ἔδοξε πορρωτέρω μεταστρατοπεδεῦσαι, καὶ καταλαβεῖν ἔνυδρον χωρίον· ἐπεὶ τὰ πλησίον νάματα καθύβριστο[530] καὶ διέφθαρτο τῶν βαρβάρων ἱπποκρατούντων[531].

Ἐπελθούσης δὲ νυκτός, καὶ τῶν στρατηγῶν ἀγόντων ἐπὶ τὴν ἀποδεδειγμένην[532] στρατοπεδείαν, οὐ πάνυ πρόθυμον ἦν ἕπεσθαι καὶ συμμένειν τὸ πλῆθος· ἀλλ' ὡς ἀνέστησαν ἐκ τῶν πρώτων ἐρυμάτων, ἐφέροντο πρὸς τὴν πόλιν τῶν Πλαταιέων οἱ πολλοί, καὶ θόρυβος ἦν ἐκεῖ διασκιδναμένων καὶ κατασκηνούντων ἀτάκτως· Λακεδαιμονίοις δὲ συνέβη μὲν ἄκουσι μόνοις ἀπολιπέσθαι τῶν ἄλλων· Ἀμομφάρετος γάρ, ἀνὴρ θυμοειδὴς καὶ φιλοκίνδυνος, ἔκπαλαι πρὸς τὴν μάχην σπαργῶν[533], καὶ βαρυνόμενος τὰς πολλὰς ἀναβολὰς καὶ μελλήσεις, τότε δὲ παντάπασι τὴν μετανάστασιν φυγὴν ἀποκαλῶν καὶ ἀπόδρασιν, οὐκ ἔφη λείψειν τὴν τάξιν, ἀλλ' αὐτόθι μένων μετὰ τῶν ἑαυτοῦ λοχιτῶν ὑποστήσεσθαι[534] Μαρδόνιον. Ὡς δὲ Παυσανίας ἐπανελθὼν ἔλεγε ταῦτα πράττειν ἐψηφισμένα καὶ δεδογμένα τοῖς Ἕλλησιν, ἀράμενος ταῖν χεροῖν πέτρον μέγαν ὁ Ἀμομφάρετος, καὶ καταβαλὼν πρὸ τῶν ποδῶν τοῦ Παυσανίου, ταύτην ἔφη ψῆφον αὐτὸς περὶ τῆς μάχης τίθεσθαι, τὰ δὲ τῶν ἄλλων δειλὰ βουλεύματα καὶ δόγματα χαίρειν ἐᾷν[535]. Ἀπορούμενος δὲ Παυσανίας τῷ παρόντι[536], πρὸς μὲν τοὺς Ἀθηναίους ἔπεμψεν ἀπιόντας ἤδη, περιμεῖναι δεόμενος καὶ κοινῇ βαδίζειν, αὐτὸς δὲ τὴν ἄλλην δύ-

521) Διέτρεχε. 522) Προτρεπόντων, ἐνθαρρυνόντων. 523) Διὰ τῶν νικῶν. 524) Τοῖς ἐν Μαραθῶνι ἀγωνισαμένοις. 525) Ἂν δηλ. νικηθῶμεν, θὰ φανῇ ὅτι τὰ τρόπαια ἐκεῖνα ἔστησεν ὄχι ἡ ἀνδρεία τῶν Ἀθηναίων, ἀλλ' ἡ ἱκανότης τοῦ Μιλτιάδου ἢ ἡ τύχη. 526) Ἐκινοῦντο διὰ νὰ ἀλλάξωσι τὰς τάξεις των. 527) Οἱ Θηβαῖοι συνεμάχουν μὲ τοὺς Πέρσας.
528) Μετέφερε. λέξ. στρατιωτ. 529) Τινὲς κατά τινα χειρόγραφα ἀφαιροῦσι τὸ εὐθύς. Ὁ δὲ Κοραῆς τρέπει αὐτὸ εἰς αὖθις, ἀφαιρῶν τὴν προηγουμένην ὑποστιγμήν.
530) Εἶχον μολυνθῇ. 531) Κρατούντων αὐτῶν διὰ τοῦ ἱππικοῦ. 532) Προσδιορισθεῖσαν.
533) Ὁρμῶν, προθυμούμενος. 534) Νὰ περιμείνῃ καὶ ἀντιπαραταχθῇ εἰς. 535) Ὅτι δὲν τὰ ψηφῶ. 536) Πρὸς τὰ γινόμενα.

ΙΩΑΝΝΙΝΑ 2006

ναμιν ἦγε πρὸς τὰς Πλαταιὰς ὡς ἀναστήσων τὸν Ἀμομφάρετον. Ἐν τούτῳ δὲ κατελάμβανεν ἡμέρα, καὶ Μαρδόνιος (οὐ γὰρ ἔλαθον[537] τὴν στρατοπεδείαν ἐκλιπόντες οἱ Ἕλληνες) ἔχων συντεταγμένην τὴν δύναμιν, ἐπεφέρετο τοῖς Λακεδαιμονίοις βοῇ πολλῇ καὶ πατάγῳ τῶν βαρβάρων, ὡς οὐ μάχης ἐσομένης, ἀλλὰ φεύγοντας ἀναρπασομένων[538] τοὺς Ἕλληνας. Ὃ μικρᾶς ῥοπῆς ἐδέησε[539] γενέσθαι. Κατιδὼν γὰρ τὸ γινόμενον ὁ Παυσανίας, ἔσχετο μὲν τῆς πορείας, καὶ τὴν ἐπὶ μάχῃ τάξιν ἐκέλευσε λαμβάνειν ἕκαστον· ἔλαθε δ' αὐτόν, εἴθ' ὑπὸ τῆς πρὸς Ἀμομφάρετον ὀργῆς, εἴτε τῷ τάχει θορυβηθέντα τῶν πολεμίων, σύνθημα[540] δοῦναι τοῖς Ἕλλησιν. Ὅθεν οὔτ' εὐθύς, οὔτ' ἀθρόοι, κατ' ὀλίγους δὲ καὶ σποράδην, ἤδη τῆς μάχης ἐν χερσὶν[541] οὔσης, προσεβοήθουν. Ὡς δὲ θυόμενος οὐκ ἐκαλλιέρει[542], προσέταξε τοῖς Λακεδαιμονίοις, τὰς ἀσπίδας πρὸ τῶν ποδῶν θεμένους, ἀτρέμα καθέζεσθαι, καὶ προσέχειν αὐτῷ μηδένα τῶν πολεμίων ἀμυνομένους· αὐτὸς δὲ πάλιν ἐσφαγιάζετο. Καὶ προσέπιπτον[543] οἱ ἱππεῖς· ἤδη δὲ καὶ βέλος ἐξικνεῖτο[544], καί τις ἐπέπληκτο τῶν Σπαρτιατῶν. Ἐν τούτῳ δὲ καὶ Καλλικράτης, ὃν ἰδέᾳ[545] τε κάλλιστον Ἑλλήνων, καὶ σώματι μέγιστον ἐν ἐκείνῳ τῷ στρατῷ γενέσθαι λέγουσι, τοξευθεὶς καὶ θνήσκων, Οὐκ (ἔφη) τὸν θάνατον ὀδύρεσθαι· καὶ γὰρ ἐλθεῖν οἴκοθεν ὑπὲρ τῆς Ἑλλάδος ἀποθανούμενον· ἀλλ' ὅτι θνήσκει τῇ χειρὶ μὴ χρησάμενος[546]. Ἦν οὖν τὸ μὲν πάθος δεινόν, ἡ δ' ἐγκράτεια θαυμαστὴ τῶν ἀνδρῶν. Οὐ γὰρ ἠμύνοντο τοὺς πολεμίους ἐπιβαίνοντας, ἀλλὰ τὸν παρὰ τοῦ θεοῦ καὶ τοῦ στρατηγοῦ καιρὸν ἀναμένοντες, ἠνείχοντο βαλλόμενοι καὶ πίπτοντες ἐν ταῖς τάξεσιν. Ἔνιοι δέ φασι, τῷ Παυσανίᾳ, μικρὸν ἔξω τῆς παρατάξεως θύοντι καὶ κατευχομένῳ, τῶν Λυδῶν τινας ἄφνω προσπεσόντας, ἁρπάζειν καὶ διαῤῥίπτειν τὰ περὶ τὴν θυσίαν· τὸν δὲ Παυσανίαν καὶ τοὺς περὶ αὐτόν, οὐκ ἔχοντας ὅπλα, ῥάβδοις καὶ μάστιξι παίειν. Διὸ καὶ νῦν ἐκείνης τῆς ἐπιδρομῆς μιμήματα τὰς περὶ τὸν βωμὸν ἐν Σπάρτῃ πληγὰς τῶν ἐφήβων[547], καὶ τὴν μετὰ ταῦτα τῶν Λυδῶν πομπὴν συντελεῖσθαι.

Δυσφορῶν οὖν ὁ Παυσανίας τοῖς παροῦσιν, ἄλλα τοῦ μάντεως ἐπ' ἄλλοις[548] ἱερεῖα καταβάλλοντος, τρέπεται πρὸς τὸ Ἡραῖον[549] τῇ ὄψει δεδακρυμένος· καὶ τὰς χεῖρας ἀνασχὼν εὔξατο Κιθαιρωνίᾳ Ἥρᾳ, καὶ θεοῖς ἄλλοις οἳ Πλαταιΐδα γῆν ἔχουσιν[550], εἰ μὴ πέπρωται τοῖς Ἕλλησι νικᾶν, ἀλλὰ δράσαντάς γέ τι παθεῖν[551], καὶ δείξαντας ἔργῳ τοῖς πολεμίοις, ὡς ἐπ' ἄνδρας ἀγαθοὺς καὶ μάχεσθαι μεμαθηκότας ἐστράτευσαν. Ταῦτα τοῦ Παυσανίου θεοκλυτοῦντος, ἅμα ταῖς εὐχαῖς ἐφάνη τὰ ἱερὰ[552], καὶ νίκην οἱ μάντεις

---

537) Ἠγνοήθησαν, δηλ. οἱ Πέρσαι ἐνόησαν ὅτι κατέλιπον. 538) Τῶν βαρβάρων.

539) Ὀλίγον ἔλειψεν. Ἡ παραβολὴ ἐκ τῆς στάθμης. 540) Τὴν λέξιν τὴν ὁποίαν λέγοντες εἰς τὴν μάχην ν' ἀναγνωρίζωνται. Ἀλλ' ἐδῶ ἐννοεῖ μᾶλλον τὴν διαταγὴν νὰ προχωρήσωσι. 541) Εἰς συμπλοκήν. 542) Θυόμενος μέσον, δηλ. θύων διὰ τῶν ἱερέων, ἐκαλλιέρει δέ, εὕρισκε τὰ ἱερεῖα εὐνοϊκά. 543) Ἐφώρμων κατ' αὐτοῦ. 544) Ἦσαν τόσον πλησίον ὥστε ἔφθανε βέλος. 545) Μορφῇ. 546) Δηλ. μὴ πολεμήσας. 547) Περὶ τὸν βωμὸν τῆς Ὀρθίας Ἀρτέμιδος εἰς Σπάρτην ἐμαστιγοῦντο οἱ νέοι γυμνοὶ διὰ νὰ συνηθίσωσιν εἰς τὴν σκληραγωγίαν. 548) Ἄλλα ἐπ' ἄλλοις. Ἀλεπάλληλα. 549) Τὸν ναὸν τῆς Ἥρας.

550) Ἐξουσιάζουσιν ἢ προστατεύουσιν. 551) Νὰ πάθωσι, νὰ θανατωθῶσιν ἀφ' οὗ κατορθώσωσί τι. 552) Ἐφάνησαν καλὰ τὰ ἱερά.

ΕΡΓΑΣΤ. Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἐμήνυον. Καὶ δοθέντος εἰς ἅπαντας παραγγέλματος καθίστασθαι[553] πρὸς τοὺς πολεμίους, ἥ τε φάλαγξ ὄψιν ἔσχεν[554] αἰφνιδίως ἑνὸς ζώου θυμοειδοῦς πρὸς ἀλκὴν τρεπομένου[555] καὶ φρίξαντος· τοῖς τε βαρβάροις τότε παρέστη λογισμός, ὡς πρὸς ἄνδρας ὁ ἀγὼν ἔσοιτο μαχομένους[556] ἄχρι θανάτου. Διὸ καὶ προθέμενοι πολλὰ τῶν γέῤῥων[557], ἐτόξευον τοὺς Λακεδαιμονίους. Οἱ δέ, τηροῦντες ἅμα τὸν συνασπισμόν[558], ἐπέβαινον καὶ προσπεσόντες ἐξεώθουν τὰ γέῤῥα, καὶ τοῖς δόρασι τύπτοντες πρόσωπα καὶ στέρνα τῶν Περσῶν, πολλοὺς κατέβαλον, οὐκ ἀπράκτως, οὐδ' ἀθύμως[559] πίπτοντας. Καὶ γὰρ ἀντιλαμβανόμενοι τῶν δορατίων[560] ταῖς χερσὶ γυμναῖς, συνέθραυον τὰ πλεῖστα· καὶ πρὸς τὰς ξιφουλκίας ἐχώρουν οὐκ ἀργῶς[561], ἀλλὰ ταῖς τε κοπίσι καὶ τοῖς ἀκινάκαις[562] χρώμενοι, καὶ τὰς ἀσπίδας παρασπῶντες καὶ συμπλεκόμενοι, χρόνον πολὺν ἀντεῖχον. Οἱ δ' Ἀθηναῖοι τέως μὲν ἠτρέμουν ἀναμένοντες τοὺς Λακεδαιμονίους· ἐπεὶ δὲ κραυγή τε προσέπιπτε πολλὴ μαχομένων, καὶ παρῆν, ὥς φασιν, ἄγγελος παρὰ Παυσανίου τὰ γινόμενα φράζων, ὥρμησαν κατὰ τάχος βοηθεῖν. Καὶ προχωροῦσιν αὐτοῖς διὰ τοῦ πεδίου πρὸς τὴν βοήν, ἐπεφέροντο[563] τῶν Ἑλλήνων οἱ μηδίζοντες. Ἀριστείδης δέ, πρῶτον μὲν ὡς εἶδε, πολὺ προελθών, ἐβόα μαρτυρόμενος Ἑλληνίους θεούς, ἀπέχεσθαι μάχης, καὶ μὴ σφίσιν ἐμποδὼν εἶναι, μηδὲ κωλύειν ἐπαμύνοντας τοῖς προκινδυνεύουσιν ὑπὲρ τῆς Ἑλλάδος. Ἐπεὶ δ' ἑώρα μὴ προσέχοντας αὐτῷ καὶ συντεταγμένους ἐπὶ τὴν μάχην, οὕτω τῆς ἐκεῖ βοηθείας[564] ἀποτραπόμενος, συνέβαλε τούτοις περὶ πεντακισμυρίους οὖσιν. Ἀλλὰ τὸ μὲν πλεῖστον εὐθὺς ἐνέδωκε καὶ ἀπεχώρησεν, ἅτε δὴ[565] καὶ τῶν βαρβάρων ἀπηλλαγμένων· ἡ δὲ μάχη λέγεται μάλιστα κατὰ Θηβαίους[566] γενέσθαι προθυμότατα, τῶν πρώτων καὶ δυνατωτάτων τότε παρ' αὐτοῖς μηδιζόντων, καὶ τὸ πλῆθος οὐ κατὰ γνώμην, ἀλλ' ὀλιγαρχούμενον[567] ἀγόντων.

Οὕτω δὲ τοῦ ἀγῶνος δίχα συνεστῶτος, πρῶτοι μὲν ἐώσαντο[568] τοὺς Πέρσας οἱ Λακεδαιμόνιοι, καὶ τὸν Μαρδόνιον ἀνὴρ Σπαρτιάτης, ὄνομα[569] Ἀρίμνηστος, ἀποκτίννυσι λίθῳ τὴν κεφαλὴν πατάξας, ὥσπερ αὐτῷ προεσήμανε τὸ ἐν Ἀμφιάρεω μαντεῖον[570]. Ἔπεμψε γὰρ ἄνδρα Λυδὸν ἐνταῦθα, Κᾶρα δ' ἕτερον εἰς Τροφωνίου[571] ὁ Μαρδόνιος· καὶ τοῦτον μὲν ὁ προφήτης Καρικῇ γλώσσῃ προσεῖπεν· ὁ δὲ Λυδός, ἐν τῷ σηκῷ[572] τοῦ Ἀμφιάρεω κατευνασθείς, ἔδοξεν[573] ὑπηρέτην τινὰ τοῦ θεοῦ παραστῆναι, καὶ κελεύειν

---

553) Νὰ ἐπέλθωσι κατὰ τῶν π. 554) Ἔλαβεν ὄψιν, δηλ. ἐφάνη ὅλη ἡ φάλαγξ ὡς ἓν ζῶον. 555) Δηλ. ἑτοιμαζομένου νὰ μεταχειρισθῇ τὴν ἀλκήν του. 556) Ἴσως μαχομένοις.

557) Ἀσπίδες πλεκταὶ τῶν Περσῶν. 558) Συνασπισμὸς ἦτον ἡ τάξις καθ' ἣν ὁ λόχος πυκνῶν τὰς ἀσπίδας, ἐκάλυπτε δι' αὐτῶν ὅλον τὸ μέτωπον. Οἱ Λακεδαιμόνιοι λοιπόν, λέγει, προέβησαν χωρὶς νὰ συνταράξωσι τὸν συνασπισμόν των. 559) Δηλ. γενναίως ἢ πράττοντες ἀνδραγαθίας. 560) Τῶν Λακεδ. 561) Καὶ ἔσυρον τὰ ξίφη οὐ νωθρῶς. 562) Κοπὶς ἡ πλατεῖα μάχαιρα. Ἀκινάκης δὲ Περσικὸς πέλεκυς. 563) Ἐκινήθησαν κατ' αὐτῶν.

564) Τῆς πρὸς τοὺς Λακεδ. 565) Διότι καὶ οἱ βάρβαροι εἶχον ἤδη τραπῇ. 566) Εἰς τὸ μέρος ὅπου ἦσαν οἱ Θηβαῖοι. 567) Ὄχι κατὰ θέλησίν του, ἀλλ' ὑποτεταγμένον εἰς τὴν θέλησιν τῶν ὀλίγων. 568) Ὤθω. 569) (Ὧ ἦν) ὄνομα. 570) Ὁ Ἀμφιάραος ἦν μάντις τὸν ὁποῖον ἡ γῆ κατέπιεν ἔμπροσθεν τῶν Θηβῶν. Τὸ μαντεῖόν του ἦτον εἰς Ὠρωπὸν τῆς Βοιωτίας.

571) Ὁ Τροφώνιος ἦτον μάντις ἐξ Ὀρχομενοῦ τῆς Βοιωτίας. Τὸ μαντεῖόν του ἦτον ὑπόγειον σπήλαιον εἰς Λεβαδίαν, τὸ ὁποῖον ἀκόμη σώζεται. 572) Τὸ ἐνδότερον τοῦ ναοῦ.

573) Ἐνόμισε, τῷ ἐφάνη· ὄχι τριτοπρόσωπον.

αὐτὸν ἀπιέναι· μὴ βουλομένου δὲ λίθον εἰς τὴν κεφαλὴν ἐμβαλεῖν μέγαν, ὥστε δόξαι πληγέντα τεθνάναι τὸν ἄνθρωπον. Καὶ ταῦτα μὲν οὕτω γενέσθαι λέγεται· τοὺς δὲ φεύγοντας εἰς τὰ ξύλινα τείχη καθεῖρξαν[574]. Ὀλίγῳ δ' ὕστερον Ἀθηναῖοι τοὺς Θηβαίους τρέπονται[575], τριακοσίους τοὺς ἐπιφανεστάτους καὶ πρώτους διαφθείραντες ἐν αὐτῇ τῇ μάχῃ. Γεγενημένης γὰρ τῆς τροπῆς, ἧκεν αὐτοῖς ἄγγελος[576] πολιορκεῖσθαι τὸ βαρβαρικὸν εἰς τὰ τείχη κατακεκλεισμένον. Οὕτω δὴ σώζεσθαι τοὺς Ἕλληνας[577] ἐάσαντες, ἐβοήθουν πρὸς τὰ τείχη· καὶ τοῖς Λακεδαιμονίοις παντάπασιν ἀργῶς πρὸς τειχομαχίαν καὶ ἀπείρως ἔχουσιν[578] ἐπιφανέντες, αἱροῦσι τὸ στρατόπεδον, φόνῳ πολλῷ τῶν πολεμίων. Λέγονται γὰρ ἀπὸ τῶν τριάκοντα μυριάδων τετρακισμύριοι φυγεῖν σὺν Ἀρταβάζῳ· τῶν δ' ὑπὲρ τῆς Ἑλλάδος ἠγωνισμένων ἔπεσον οἱ πάντες ἐπὶ χιλίοις ἑξήκοντα καὶ τριακόσιοι. Τούτων Ἀθηναῖοι μὲν ἦσαν δύο καὶ πεντήκοντα, πάντες ἐκ τῆς Αἰαντίδος φυλῆς[579], ὥς φησι Κλείδημος[580], ἀγωνισαμένης ἄριστα· διὸ καὶ ταῖς Σφραγίτισι[581] νύμφαις ἔθυον Αἰαντίδαι τὴν πυθόχρηστον[582] θυσίαν ὑπὲρ τῆς νίκης, ἐκ δημοσίου τὸ ἀνάλωμα λαμβάνοντες. Λακεδαιμόνιοι δ' ἑνὶ πλείους τῶν ἐνενήκοντα[583]. Τεγεᾶται δ' ἑκκαίδεκα. Θαυμαστὸν οὖν τὸ Ἡροδότου[584], πῶς μόνους τούτους φησὶν εἰς χεῖρας ἐλθεῖν[585] τοῖς πολεμίοις, τῶν δ' ἄλλων Ἑλλήνων μηδένα[586]. Καὶ γὰρ τὸ πλῆθος τῶν πεσόντων μαρτυρεῖ καὶ τὰ μνήματα κοινὸν γενέσθαι τὸ κατόρθωμα[587]· καὶ τὸν βωμόν[588] οὐκ ἂν ἐπέγραψαν οὕτως, εἰ μόναι τρεῖς πόλεις ἠγωνίσαντο τῶν ἄλλων ἀτρέμα καθεζομένων·

Τόνδε[589] ποθ' Ἕλληνες νίκας[590] κράτει, ἔργῳ Ἄρηος[591]
 Εὐτόλμῳ ψυχῆς[592] λήματι πειθόμενοι,
Πέρσας ἐξελάσαντες, ἐλευθέρᾳ Ἑλλάδι κοινὸν
 Ἱδρύσαντο Διὸς βωμὸν ἐλευθερίου[594].

Ταύτην τὴν μάχην ἐμαχέσαντο τῇ τετράδι[595] τοῦ Βοηδρομιῶνος ἱσταμένου[596] κατ' Ἀθηναίους, κατὰ δὲ Βοιωτοὺς, τετράδι τοῦ Πανέμου[597] φθίνοντος[598], ᾗ καὶ νῦν ἔτι τὸ Ἑλληνικὸν ἐν Πλαταιαῖς ἀθροίζεται συνέδριον, καὶ θύουσι τῷ ἐλευθερίῳ Διὶ Πλαταιεῖς ὑπὲρ τῆς νίκης. Τὴν δὲ τῶν ἡμερῶν ἀνωμαλίαν[599] οὐ θαυμαστέον, ὅπου καὶ νῦν, διηκριβωμένων τῶν ἐν

574) Ἴδε § 11. 575) Μέσον ἀντὶ τρέπουσι. 576) Ἑλλ. λέγων. 577) Τοὺς Θηβαίους.
578) Νωθρεῖς καὶ ἄπειροι ὄντι. 579) Μία τῶν δέκα φυλῶν κληθεῖσα ἐξ Αἴαντος τοῦ Σαλαμινίου. 580) Ἀρχαῖος ἱστοριογράφος, γράψας ἱστορίαν τῆς Ἀττικῆς ἥτις δὲν διεσώθη.
581) Ἴδε § 11. 582) Τὴν ὑπὸ τοῦ χρησμοῦ τῆς Πυθίας διαταχθεῖσαν. 583) Δηλ. ἐννενήκοντα εἷς. 584) Τὸ Ἡροδότου πῶς, ἀντὶ: τὸ Πῶς ὁ Ἡρόδοτος. 585) Ὅτι ἐπολέμησαν.
586) Ὁ Πλούταρχος ἀντιφέρεται πάντοτε κατὰ τοῦ Ἡροδότου, καὶ ἔγραψεν ἰδίαν πραγματείαν Περὶ κακοηθείας Ἡροδότου. 587) Τὸ πλ. τῶν πεσ. καὶ τὰ μν. μαρτυρεῖ τὸ κατόρθ. γενέσθαι κοινόν. 588) Τὸν ὁποῖον ἀνήγειρον μετὰ τὴν νίκην. 589) Τόνδε βωμόν. 590) Δωρ. ἀντὶ νίκης. 591) Πολέμῳ. 592) Δωρ. ἀντὶ ψυχῆς. 593) Θελήματι.
594) Ὁ Ζεὺς ὁ προστάτης τῆς Ἑλληνικῆς ἐλευθερίας. 595) Κατ' ἄλλους τρίτη.
596) Βοηδρομιὼν ἦτον ὁ τρίτος μὴν τοῦ Ἀττικοῦ ἔτους, τὸ ὁποῖον ἤρχιζε κατὰ τὰ τέλη τοῦ Ἰουνίου ἢ ἀρχὰς Ἰουλίου. Ἱστάμενος ἐλέγετο ὁ μὴν ἀπὸ τῆς πρώτης μέχρι τῆς 10ης, φθίνων δὲ ἀπὸ τῆς 19ης μέχρι τῆς 30ῆς. 597) Οἱ Βοιωτοὶ εἶχον ἄλλο ἡμερολόγιον, καὶ ἄλλας ἐπωνυμίας τῶν μηνῶν. 598) Τοῦ φθίνοντος μηνὸς τὰς ἡμέρας ἐλογίζον ἀπὸ τῆς τελευταίας καὶ ἐπάνω· ὥστε τετάρτη φθίνοντος ἦτον ἡ 27η. 599) Δηλ. ὅτι ἑκάστη πόλις εἶχεν ἄλλο ἡμερολόγιον.

ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΣΤΗΜΟΝΙΚΟΣ ΥΠΕΥΘΥΝΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ν.Ο.Φ.Ε. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἀστρολογίᾳ[400] μᾶλλον, ἄλλην ἄλλοι μηνὸς ἀρχὴν καὶ τελευτὴν ἄγουσιν[401].

Ἐκ τούτου τῶν Ἀθηναίων τὸ ἀριστεῖον[402] οὐ παραδιδόντων τοῖς Σπαρτιάταις, οὐδὲ τρόπαιον ἱστάναι συγχωρούντων ἐκείνοις, παρ' οὐδὲν ἂν ἦλθεν[403] εὐθὺς ἀπολέσθαι τὰ πράγματα τῶν Ἑλλήνων ἐν τοῖς ὅπλοις διαστάντων[404], εἰ μὴ πολλὰ παρηγορῶν[405] καὶ διδάσκων τοὺς στρατηγοὺς ὁ Ἀριστείδης, μάλιστα δὲ Λεωκράτη καὶ Μυρωνίδην, ἔσχε[406] καὶ συνέπεισε τὴν κρίσιν ἐφεῖναι[407] τοῖς Ἕλλησιν. Ἐνταῦθα βουλευομένων τῶν Ἑλλήνων, Θεογείτων μὲν ὁ Μεγαρεὺς εἶπεν, ὡς ἑτέρᾳ πόλει δοτέον εἴη τὸ ἀριστεῖον, εἰ μὴ βούλονται συνταράξαι[408] πόλεμον ἐμφύλιον· ἐπὶ τούτῳ δ' ἀναστὰς Κλεόκριτος ὁ Κορίνθιος, δόξαν μὲν παρέσχεν[409], ὡς Κορινθίοις[410] αἰτήσων τὸ ἀριστεῖον· ἦν γὰρ ἐν ἀξιώματι[411] μεγίστῳ μετὰ τὴν Σπάρτην καὶ τὰς Ἀθήνας ἡ Κόρινθος· εἶπε δὲ πᾶσιν ἀρέσαντα θαυμαστὸν λόγον ὑπὲρ Πλαταιέων, καὶ συνεβούλευσε τὴν φιλονεικίαν ἀνελεῖν[412] ἐκείνοις τὸ ἀριστεῖον ἀποδόντας, οἷς οὐδετέρους τιμωμένοις ἄχθεσθαι[413]. Ῥηθέντων δὲ τούτων, πρῶτος μὲν Ἀριστείδης συνεχώρησεν ὑπὲρ τῶν Ἀθηναίων, ἔπειτα Παυσανίας ὑπὲρ τῶν Λακεδαιμονίων. Οὕτω δὲ διαλλαγέντες, ἐξεῖλον[414] ὀγδοήκοντα τάλαντα τοῖς Πλαταιεῦσιν, ἀφ' ὧν τὸ τῆς Ἀθηνᾶς ᾠκοδόμησαν ἱερόν, καὶ τὸ ἕδος[415] ἔστησαν, καὶ γραφαῖς τὸν νεὼν διεκόσμησαν, αἳ μέχρι νῦν ἀκμάζουσαι διαμένουσιν. Ἔστησαν δὲ τρόπαιον, ἰδίᾳ μὲν Λακεδαιμόνιοι, χωρὶς δ' Ἀθηναῖοι. Περὶ δὲ θυσίας ἐρομένοις αὐτοῖς ἀνεῖλεν ὁ Πύθιος[416], Διὸς ἐλευθερίου βωμὸν ἱδρύσασθαι, θῦσαι δὲ μὴ πρότερον, ἢ τὸ κατὰ τὴν χώραν[417] πῦρ ἀποσβέσαντας, ὡς ὑπὸ τῶν βαρβάρων μεμιασμένον, ἐναύσασθαι καθαρὸν ἐκ Δελφῶν ἀπὸ τῆς κοινῆς ἑστίας. Οἱ μὲν οὖν ἄρχοντες[418] τῶν Ἑλλήνων περιϊόντες εὐθύς, ἠνάγκαζον ἀποσβεννύναι τὰ πυρὰ πάντα τοὺς χρωμένους[419]· ἐκ δὲ Πλαταιέων Εὐχίδας, ὑποσχόμενος, ὡς ἐνδέχεται[420] τάχιστα κομιεῖν τὸ παρὰ τοῦ θεοῦ πῦρ, ἧκεν εἰς Δελφούς. Ἁγνίσας δὲ τὸ σῶμα[421] καὶ περιρρανάμενος, ἐστεφανώσατο δάφνῃ καὶ λαβὼν ἀπὸ τοῦ βωμοῦ τὸ πῦρ, δρόμῳ πάλιν εἰς τὰς Πλαταιὰς ἐχώρει, καὶ πρὸ ἡλίου δυσμῶν ἐπανῆλθε, τῆς αὐτῆς ἡμέρας χιλίους σταδίους[422] ἀνύσας[423]. Ἀσπασάμενος δὲ τοὺς πολίτας, καὶ τὸ πῦρ παραδούς, εὐθὺς ἔπεσε, καὶ μετὰ μικρὸν

---

400) Τῶν ἀφορώντων τὴν ἀ σ τ ρ ο λ ο γ ί α ν. Οἱ μεταγενέστεροι καθιέρωσαν τὴν λέξιν ταύτην εἰς τὴν ὑποτιθεμένην ἐπιστήμην τῶν ἀξιούντων δεισιδαιμόνως ὅτι εἰκάζουσι τὰ μέλλον ἐκ τῆς μελέτης τῶν ἀστέρων. Τὴν δὲ ἐπιστήμην τῶν νόμων τῆς κινήσεως τῶν οὐρανίων σωμάτων ὠνόμασαν ἀ σ τ ρ ο ν ο μ ί α ν. 401) Ἄγουσιν ἀρχὴν καὶ τελευτὴν τοῦ μηνός, φράσις σημαίνουσα: ἔχουσιν, ὑπολογίζουσιν ἀρχὴν κτλ. 402) Τὴν τιμὴν τῆς νίκης.

403) Παρ' ὀλίγον ἤθελεν ἔλθει, ὀλίγον ἔλειψε. 404) Διαιρεθέντων ἐνόπλως, δηλ. φθασάντων εἰς βαθμὸν ὥστε νὰ λάβωσι τὰ ὅπλα. 405) Συμβουλεύων. 406) Ἐμπόδισε.

407) Νὰ ἐκκαλέσωσι. 408) Νὰ κινήσωσι. 409) Ἔδοξεν, ἐνομίσθη. 410) Ὑπὲρ τῶν Κορινθίων. 411) Ὑπολήψει. 412) Ἀναιρῶ. 413) Διὰ τοὺς ὁποίους ἂν ἐτιμῶντο, δὲν ἤθελε λυπηθῇ καμμία ἀπὸ τὰς δύο πόλεις. 414) Ἐξέρεσαν ἐκ τῶν λαφύρων. 415) Τὸ ἄγαλμα.

416) Ἀπόλλων. 417) Καθ' ὅλην τὴν χώραν. 418) Οἱ στρατηγοί. 419) Αὐτούς.

420) Τὸ δυνατόν. 421) Οἱ ἀρχαῖοι ὅταν ἐνόμιζον ἑαυτοὺς μεμιασμένους διὰ φόνον ἢ ἄλλου κοινοῦ ἐγκλήματος, ἐρχόμενοι εἰς τοὺς ναοὺς ἐκαθαρίζοντο διὰ τελετῶν ἐπὶ τούτῳ ὡρισμένων. 422) Πεντήκοντα ὥρας. 423) Διατρέξας.

στρατηγοὶ τῶν Ἑλλήνων, μάλιστα δὲ Χῖοι καὶ Σάμιοι καὶ Λέσβιοι, τὸν Ἀριστείδην ἔπειθον ἀναδέξασθαι τὴν ἡγεμονίαν, καὶ προσαγαγέσθαι[470] τοὺς συμμάχους, πάλαι δεομένους ἀπαλλαγῆναι τῶν Σπαρτιατῶν, καὶ μετατάξασθαι πρὸς τοὺς Ἀθηναίους. Ἀποκριναμένου δ' ἐκείνου, τοῖς μὲν λόγοις αὐτῶν τό τε ἀναγκαῖον ἐνορᾷν καὶ τὸ δίκαιον[471], ἔργου δὲ δεῖσθαι τὴν πίστιν[472], ὃ πραχθὲν οὐκ ἐάσει πάλιν μεταβαλέσθαι τοὺς πολλούς, οὕτως οἱ περὶ τὸν Σάμιον Οὐλιάδην καὶ τὸν Χῖον Ἀνταγόραν συνομοσάμενοι, περὶ Βυζάντιον ἐμβάλλουσιν[473] εἰς τὴν τριήρη τοῦ Παυσανίου, προεκπλέουσαν ἐν μέσῳ[474] λαβόντες. Ὡς δὲ κατιδὼν ἐκεῖνος ἐξανέστη, καὶ μετ' ὀργῆς ἠπείλησεν, ὀλίγῳ χρόνῳ[475] τοὺς ἄνδρας ἐπιδείξειν, οὐκ εἰς τὴν αὐτοῦ ναῦν ἐμβεβληκότας, ἀλλ' εἰς τὰς ἰδίας πατρίδας[476], ἐκέλευον αὐτὸν ἀπιέναι καὶ ἀγαπᾷν[477] τὴν συνηγωνισμένην τύχην ἐν Πλαταιαῖς· ἐκείνην γὰρ ἔτι τοὺς Ἕλληνας αἰσχυνομένους μὴ λαμβάνειν ἀξίαν δίκην[478] παρ' αὐτοῦ. Τέλος δ' ἀποστάντες[479] ᾤχοντο πρὸς τοὺς Ἀθηναίους. Ἔνθα δὴ καὶ τὸ φρόνημα τῆς Σπάρτης διεφάνη θαυμαστόν. Ὡς γὰρ ᾔσθοντο τῷ μεγέθει τῆς ἐξουσίας διαφθειρομένους αὐτῶν τοὺς ἄρχοντας, ἀφῆκαν ἑκουσίως τὴν ἡγεμονίαν, καὶ πέμποντες ἐπὶ τὸν πόλεμον ἐπαύσαντο[480] στρατηγούς, μᾶλλον αἱρούμενοι σωφρονοῦντας ἔχειν καὶ τοῖς ἔθεσιν ἐμμένοντας τοὺς πολίτας, ἢ τῆς Ἑλλάδος ἔχειν τὴν ἀρχὴν ἁπάσης.

Οἱ δ' Ἕλληνες ἐτέλουν μέν τινα καὶ Λακεδαιμονίων ἡγουμένων[481] ἀποφορὰν[482] εἰς τὸν πόλεμον, ταχθῆναι[483] δὲ βουλόμενοι κατὰ πόλιν ἑκάστοις τὸ μέτριον, ᾐτήσαντο παρὰ τῶν Ἀθηναίων Ἀριστείδην, καὶ προσέταξαν αὐτῷ χώραν τε καὶ προσόδους ἐπισκεψάμενον, ὁρίσαι τὸ[484] κατ' ἀξίαν ἑκάστῳ[485] καὶ δύναμιν. Ὁ δὲ, τηλικαύτης ἐξουσίας κύριος γενόμενος, καὶ τρόπον τινὰ τῆς Ἑλλάδος ἐπ' αὐτῷ μόνῳ τὰ πράγματα πάντα θεμένης[486], πένης μὲν ἐξῆλθεν[487], ἐπανῆλθε δὲ πενέστερος, οὐ μόνον καθαρῶς καὶ δικαίως, ἀλλὰ καὶ προσφιλῶς πᾶσι καὶ ἁρμοδίως τὴν ἐπιγραφὴν[488] τῶν χρημάτων ποιησάμενος. Ὡς γὰρ οἱ παλαιοὶ τὸν ἐπὶ Κρόνου βίον[489], οὕτως οἱ σύμμαχοι τῶν Ἀθηναίων τὸν ἐπ' Ἀριστείδου φόρον, εὐποτμίαν τινὰ τῆς Ἑλλάδος ὀνομάζοντες, ὕμνουν[490], καὶ μάλιστα μετ' οὐ πολὺν χρόνον διπλασιασθέντος[491], εἶτ' αὖθις τριπλασιασθέντος. Ὃν μὲν γὰρ Ἀριστείδης ἔταξεν, ἦν εἰς ἑξήκοντα καὶ τετρακοσίων ταλάντων λόγον[492]. Τούτῳ δὲ Περι-

---

470) Νὰ ἑλκύσῃ ἐφ' ἑαυτόν. 471) Ἐνορᾷν τοῖς λόγοις αὐτῶν τὸ ἀναγκαῖον. Ὅτι βλέπει ὅτι οἱ λόγοι των περιέχουσιν ὅ,τι καὶ ἀναγκαῖον εἶναι καὶ δίκαιον. 472) Ὅτι ἡ πίστις των ἔχει ἀνάγκην ἔργου, πρέπει νὰ δειχθῇ δι' ἔργου τινός. 473) Ἐπιπίπτουσι. 474) Ἐν τῷ μέσῳ τοῦ Βοσπόρου. 475) Ἐν ὀλίγῳ. 476) Ὅτι ἐπέπεσον εἰς τὰς πατρίδας των, δηλ. ὅτι τολμήσαντες τὸ τόλμημα τοῦτο ἔβλαψαν τὰς πατρίδας των. 477) Νὰ εὐχαριστῇ τὴν τύχην. 478) Δὲν τὸν τιμωροῦσι κατ' ἀξίαν. 479) Ἀποστατήσαντες ἀπ' αὐτόν. 480) Ἔπαυσαν τοῦ νὰ πέμπωσι. Κ. § 432, Π. 481) Ὅταν εἶχον τὴν ἡγεμονίαν. 482) Φόρον, συνεισφοράν. 483) Νὰ προσδιορισθῇ ὁ μέτριος φόρος εἰς ἑκάστην πόλιν. 484) Ποσόν.
485) Ἑκάστῃ πόλει. 486) Ἐμπιστευθείσης εἰς αὐτὸν ὅλας τὰς ὑποθέσεις της.
487) Εἰς τὴν περιοδείαν τῶν πόλεων. 488) Τὴν ἐπιβολήν, τὸν προσδιορισμὸν τῶν χρημάτων ὅσα ὑπεχρεοῦτο νὰ πληρώνῃ ἕκαστος. 489) Τὸν χρυσοῦν αἰῶνα, ὅστις ὑμνεῖτο ὡς εὐδαιμονέστατος. 490) Αὐτόν. 491) Ὅταν ἐδιπλασιάσθη ὁ φόρος ὕμνουν τὸν ἐπὶ Ἀριστείδου ὅστις ἦτον ὀλιγώτερος. 492) Ἀνέβαινεν εἰς 460 τάλαντα.

κλῆς μὲν ἐπέθηκεν ὀλίγου δεῖν[493] τὸ τρίτον μέρος· ἑξακόσια γὰρ τάλαντα Θουκυδίδης φησίν, ἀρχομένου τοῦ πολέμου[494], προσιέναι τοῖς Ἀθηναίοις ἀπὸ τῶν συμμάχων. Περικλέους δ' ἀποθανόντος, ἐπιτείνοντες[495] οἱ δημαγωγοὶ κατὰ μικρόν, εἰς χιλίων καὶ τριακοσίων ταλάντων κεφάλαιον ἀνήγαγον, οὐχ οὕτω τοῦ πολέμου διὰ μῆκος καὶ τύχας[496] δαπανηροῦ γενομένου[497] καὶ πολυτελοῦς, ὡς τὸν δῆμον εἰς διανομὰς καὶ θεωρικὰ[498] καὶ κατασκευὰς ἀγαλμάτων καὶ ἱερῶν προαγαγόντες. Μέγα δ' οὖν ὄνομα τοῦ Ἀριστείδου καὶ θαυμαστὸν ἔχοντος ἐπὶ τῇ διατάξει τῶν φόρων, ὁ Θεμιστοκλῆς λέγεται καταγελᾶν[499], ὡς οὐκ ἀνδρὸς τὸν ἔπαινον, ἀλλὰ θυλάκου χρυσοφύλακος, ἀνομοίως ἀμυνόμενος τὴν Ἀριστείδου παῤῥησίαν[500]. Ἐκεῖνος γάρ, εἰπόντος ποτὲ τοῦ Θεμιστοκλέους, ἀρετὴν ἡγεῖσθαι μεγίστην στρατηγοῦ, τὸ γινώσκειν καὶ προαισθάνεσθαι τὰ βουλεύματα τῶν πολεμίων. Τοῦτο μέν, εἰπεῖν[501], ἀναγκαῖόν ἐστιν, ὦ Θεμιστόκλεις, καλὸν δὲ καὶ στρατηγικὸν ἀληθῶς, ἡ περὶ τὰς χεῖρας[502] ἐγκράτεια.

Ὁ δ' Ἀριστείδης ὥρκισε μὲν τοὺς Ἕλληνας, καὶ ὤμοσεν ὑπὲρ τῶν Ἀθηναίων, μύδρους ἐμβαλὼν ἐπὶ ταῖς ἀραῖς[503] εἰς τὴν θάλατταν. Ὕστερον δέ, τῶν πραγμάτων ἄρχειν ἐγκρατέστερον, ὡς ἔοικεν, ἐκβιαζομένων[504], ἐκέλευε τοὺς Ἀθηναίους, τὴν ἐπιορκίαν τρέψαντας εἰς αὐτόν, ᾗ[501] συμφέρει χρῆσθαι τοῖς πράγμασι[506]. Καθ' ὅλου δ' ὁ Θεόφραστός[507] φησι, τὸν ἄνδρα τοῦτον περὶ τὰ οἰκεῖα καὶ τοὺς πολίτας ἄκρως ὄντα δίκαιον, ἐν τοῖς κοινοῖς πολλὰ πρᾶξαι πρὸς τὴν ὑπόθεσιν τῆς πατρίδος[508], ὡς συχνῆς ἀδικίας δεομένης. Καὶ γὰρ τὰ χρήματά φησιν ἐκ Δήλου[509] βουλευομένων[510] Ἀθήναζε κομίσαι παρὰ τὰς συνθήκας, καὶ Σαμίων εἰσηγουμένων[503], εἰπεῖν ἐκεῖνον, ὡς οὐ δίκαιον μέν, συμφέρον δὲ τοῦτ' ἔστι. Καὶ τέλος, εἰς τὸ ἄρχειν ἀνθρώπων τοσούτων[512] καταστήσας τὴν πόλιν, αὐτὸς ἐνέμεινε τῇ πενίᾳ καὶ τὴν ἀπὸ τοῦ πένης εἶναι δόξαν οὐδὲν ἧττον ἀγαπῶν τῆς ἀπὸ τῶν τροπαίων διετέλεσε. Δῆλον δ' ἐκεῖθεν· Καλλίας ὁ δᾳδοῦχος[407] ἦν αὐτῷ γένει προσήκων[513]· τοῦτον οἱ ἐχθροὶ θανάτου διώκοντες[514], ἐπεὶ περὶ ὧν ἐγράψαντο[515] μετρίως κατηγόρησαν[516], εἰπόν τινα λόγον ἔξωθεν τοιοῦτον πρὸς τοὺς δικαστάς· « Ἀριστείδην (ἔφησαν) ἴστε τὸν Λυσιμάχου, θαυμαζόμενον ἐν τοῖς Ἕλλησι· τούτῳ πῶς οἴεσθε τὰ κατ' οἶκον ἔχειν[517], ὁρῶντες αὐτὸν ἐν τρί-

---

493) Σχεδόν. 494) Τοῦ Πελοποννησιακοῦ. 495) Αὐξάνοντες. 496) Δυστυχίας.

497) Ὡς γενομένου τοῦ πολέμου. Ὄχι τόσον διότι ἔγινεν ὁ πόλεμος δαπανηρός, ὅσον ἤδη προήγαγον, ἐσυνήθισαν τὸν δῆμον κτλ. 498) Χρήματα διδόμενα εἰς τοὺς πτωχοὺς δημότας διὰ νὰ πληρώνωσι τὴν εἴσοδόν των εἰς τὰ θέατρα. 499) Καταγελᾶν τοῦ Ἀρ. ἔχοντος. 500) Ἐκδικούμενος διὰ τὴν παῤῥησίαν τοῦ Ἀριστείδου, ἀλλ' ὄχι μὲ ὁμοίαν ἐπιτυχίαν, ὄχι τόσον προσφυῶς. 501) Ἐξαρτᾶται ἀκόμη ἀπὸ τὸ λέγεται. 502) Δηλ. περὶ τὸ κλέπτειν. 503) Εἰς ἔνδειξιν ἐπικυρώσεως τῶν ὅρκων. 504) Ἐπειδὴ ἡ φορὰ τῶν πραγμάτων ἐβίαζε τοὺς Ἀθ. νὰ ἄρχωσι μὲ περισσοτέραν αὐστηρότητα. 505) Ὅπως. 506) Νὰ πολιτευθῶσι. 507) Ὁ περίφημος φιλόσοφος ἐξ Ἐρεσσοῦ τῆς Λέσβου, τοῦ ὁποίου ἔχομεν τοὺς Χαρακτῆρας. 508) Πρὸς τὸ συμφέρον τῆς π. 509) Τὸ ταμεῖον τῶν συμμαχικῶν φόρων εἶχε κατ' ἀρχὰς κατατεθῇ εἰς τὸν ἐν Δήλῳ ναὸν τοῦ Ἀπόλλωνος. 510) Τῶν Ἀθηναίων.

511) Προτεινόντων. 512) Διὰ τὴν ἡγεμονίαν. 513) Συγγενής. 514) Ἐγκαλοῦντες ἐπ' ἐγκλήματι ἐπιφέροντι θάνατον. 515) Περὶ τοῦ ἐγκλήματος τὸ ὁποῖον κατηγόρησαν ἐγγράφως. 516) Δὲν εὗρον νὰ δώσωσιν ἀρκετὰς ἀποδείξεις. 517) Πῶς εἶναι τοῦ οἴκου του ἡ κατάστασις;

ΙΩΑΝΝΙΝΑ 2006

δων τοιούτῳ προσερχόμενον εἰς τὸ δημόσιον. Ἆρ' οὐκ εἰκός ἐστι, τὸν διγοῦντα φανερῶς, καὶ πεινῆν οἴκοι, καὶ τῶν ἄλλων ἐπιτηδείων σπανίζειν; Τοῦτον μέντοι Καλλίας, ἀνεψιὸν αὐτῷ ὄντα, πλουσιώτατος ὢν Ἀθηναίων, περιορᾷ μετὰ τέκνων καὶ γυναικὸς ἐνδεόμενον[518], πολλὰ κεχρημένος τῷ ἀνδρί[519], καὶ πολλάκις αὐτοῦ τῆς παρ' ὑμῖν δυνάμεως ἀπολελαυκώς[520]». Ὁ δὲ Καλλίας, ὁρῶν ἐπὶ τούτῳ μάλιστα θορυβοῦντας τοὺς δικαστὰς καὶ χαλεπῶς πρὸς αὐτὸν ἔχοντας[521], ἐκάλει τὸν Ἀριστείδην, ἀξιῶν μαρτυρῆσαι πρὸς τοὺς δικαστάς, ὅτι πολλάκις αὐτοῦ πολλὰ διδόντος καὶ δεομένου λαβεῖν, οὐκ ἠθέλησεν, ἀποκρινόμενος, ὡς μᾶλλον αὐτῷ διὰ τὴν πενίαν μέγα φρονεῖν, ἢ Καλλίᾳ διὰ πλοῦτον προσήκει. Πλούτῳ μὲν γάρ ἐστι[522] πολλοὺς ἰδεῖν εὖ τε καὶ κακῶς χρωμένους, πενίαν δὲ φέροντι γενναίως οὐ ῥᾴδιον ἐντυχεῖν· αἰσχύνεσθαι δὲ πενίαν, τοὺς ἀκουσίως πενομένους. Ταῦτα δὲ τοῦ Ἀριστείδου τῷ Καλλίᾳ προσμαρτυρήσαντος, οὐδεὶς ἦν τῶν ἀκουόντων, ὃς οὐκ ἀπῄει πένης μᾶλλον, ὡς Ἀριστείδης, εἶναι βουλόμενος, ἢ πλουτεῖν, ὡς Καλλίας. Ταῦτα μὲν Αἰσχίνης ὁ Σωκρατικὸς[523] ἀναγέγραφε. Πλάτων δέ, τῶν μεγάλων[524] δοκούντων καὶ ὀνομαστῶν Ἀθήνησι, μόνον ἄξιον λόγου τοῦτον ἀποφαίνει τὸν ἄνδρα. Θεμιστοκλέα μὲν γὰρ καὶ Κίμωνα καὶ Περικλέα στοῶν καὶ χρημάτων καὶ φλυαρίας πολλῆς ἐμπλῆσαι τὴν πόλιν, Ἀριστείδην δὲ πολιτεύσασθαι πρὸς ἀρετήν[525]. Μεγάλα δ' αὐτοῦ καὶ τὰ πρὸς Θεμιστοκλέα τῆς ἐπιεικείας σημεῖα. Χρησάμενος[526] γὰρ αὐτῷ παρὰ πᾶσαν τὴν πολιτείαν ἐχθρῷ, καὶ δι' ἐκεῖνον ἐξοστρακισθείς, ἐπεὶ τὴν αὐτὴν λαβὴν παρέσχεν[527] ὁ ἀνὴρ ἐν αἰτίᾳ γενόμενος[528] πρὸς τὴν πόλιν, οὐκ ἐμνησικάκησεν, ἀλλ' Ἀλκμαίωνος καὶ Κίμωνος καὶ πολλῶν ἄλλων ἐλαυνόντων[529] καὶ κατηγορούντων, μόνος Ἀριστείδης οὔτ' ἔπραξέ τι, οὔτ' εἶπε φαῦλον, οὔτ' ἀπέλαυσεν[530] ἐχθροῦ δυστυχοῦντος, ὥσπερ οὐδ' εὐημεροῦντι πρότερον ἐφθόνησε.

Τελευτῆσαι δ' Ἀριστείδην οἱ μὲν ἐν Πόντῳ[531] φασίν, ἐκπλεύσαντα πράξεων[532] ἕνεκα δημοσίων· οἱ δ' Ἀθήνησι, γήρᾳ, τιμώμενον καὶ θαυμαζόμενον ὑπὸ τῶν πολιτῶν. Κρατερὸς[533] δ' ὁ Μακεδὼν τοιαῦτά τινα περὶ τῆς τελευτῆς τοῦ ἀνδρὸς εἴρηκε. Μετὰ γὰρ[534] τὴν Θεμιστοκλέους φυγήν φησιν, ὥσπερ ἐξυβρίσαντα τὸν δῆμον, ἀναφῦσαι[535] πλῆθος συκοφαντῶν, οἳ τοὺς ἀρίστους καὶ δυνατωτάτους ἄνδρας διώκοντες, ὑπέβαλλον τῷ φθόνῳ τῶν πολλῶν ἐπαιρομένων ὑπ' εὐτυχίας καὶ δυνάμεως. Ἐν τούτοις καὶ Ἀριστείδην ἁλῶναι δωροδοκίας[536], Διοφάντου τοῦ Ἀμφιτροπῆθεν κατηγοροῦντος, ὡς, ὅτε τοὺς φόρους ἔπραττε, παρὰ τῶν Ἰώνων χρήματα λαβόντος[537]· ἐκτῖσαι

518) Ἐν ἐνδείᾳ ὄντα. 519) Ἐνῷ ὁ ἀνὴρ αὐτὸς τῷ ἐφάνη πολλάκις χρήσιμος.
520) Δηλ. ὠφεληθείς ἀπὸ τὴν παρ' ὑμῖν δύναμιν τοῦ Ἀρ. 521) Ὀργιζομένους.
522) Εἶναι δυνατόν. 523) Φιλόσοφος μαθητὴς τοῦ Σωκρ. γράψας ἑπτὰ διαλόγους, ὧν σώζονται τρεῖς. 524) Τούτων μόνον τῶν μεγάλων. 525) Ἐναρέτως, ἀποβλέπων πρὸς ἀρετήν.
526) Μεταχειρισθείς, δηλ. ἔχων. 527) Ἔδωσε τὴν ἰδίαν ἀφορμὴν (τοῦ νὰ ἐξοστρακισθῇ).
528) Κατηγορηθείς. 529) [illegible] 530) Δηλ. ἐχάρη. 531) Εἰς τὸν Εὔξεινον Πόντον. 532) Εἰσπράξεων (συμμαχικῶν φόρων), ἢ ἁπλῶς, ὑποθέσεων. 533) Ἄγνωστος συγγραφεὺς συλλέξας ψηφίσματα. 534) Διηγηματικός. 535) Ὁ δῆμος ἐπειδὴ ἐξεπαχύνθη εἰς ὕβριν, ἀνέδωσε, παρήγαγε πλῆθος συκοφαντῶν. 536) Κατεδικάσθη ἐπὶ δωρ.
537) Ἡ σύντ. εἰς τὸ κατηγοροῦντος· κατηγοροῦντος αὐτοῦ ὡς λαβόντος.

δ' οὐκ ἔχοντα τὴν καταδίκην, πεντήκοντα μνῶν[538] οὖσαν, ἐκπλεῦσαι, καὶ περὶ τὴν Ἰωνίαν ἀποθανεῖν. Τούτων οὐδὲν ἔγγραφον ὁ Κρατερὸς τεκμήριον παρέσχεν, οὔτε δίκην, οὔτε ψήφισμα, καίπερ εἰωθὼς ἐπιεικῶς[539] γράφειν τὰ τοιαῦτα καὶ παρατίθεσθαι[540] τοὺς ἱστοροῦντας. Οἱ δ' ἄλλοι πάντες, ὡς ἔπος εἰπεῖν[541], ὅσοι τὰ πλημμεληθέντα τῷ δήμῳ περὶ τοὺς στρατηγοὺς διεξίασι, τὴν μὲν Θεμιστοκλέους φυγήν, καὶ τὰ Μιλτιάδου δεσμά, καὶ τὴν Περικλέους ζημίαν, καὶ τὸν Πάχητος[543] ἐν τῷ δικαστηρίῳ θάνατον, ἀνελόντος αὑτὸν[544] ἐπὶ τοῦ βήματος, ὡς ἡλίσκετο[545], καὶ πολλὰ τοιαῦτα συνάγουσι καὶ θρυλλοῦσιν· Ἀριστείδου δὲ τὸν μὲν ἐξοστρακισμὸν παρατίθενται, καταδίκης δὲ τοιαύτης οὐδαμοῦ μνημονεύουσι.

Καὶ μέντοι καὶ τάφος ἐστὶν αὐτοῦ Φαληροῖ[1] δεικνύμενος, ὅν φασι κατασκευάσαι τὴν πόλιν αὐτῷ μηδ' ἐντάφια[546] καταλιπόντι. Καὶ τὰς μὲν θυγατέρας ἱστοροῦσιν ἐκ τοῦ πρυτανείου[547] τοῖς νυμφίοις ἐκδοθῆναι, δημοσίᾳ τῆς πόλεως τὸν γάμον ἐγγυώσης, καὶ προῖκα τρισχιλίας δραχμὰς ἑκατέρᾳ ψηφισαμένης· Λυσιμάχῳ δὲ τῷ υἱῷ μνᾶς μὲν ἑκατὸν ἀργυρίου, καὶ γῆς τοσαῦτα πλέθρα πεφυτευμένης ἔδωκεν ὁ δῆμος, ἄλλας δὲ δραχμὰς τέσσαρας εἰς μίαν ἑκάστην ἀπέταξεν[548], Ἀλκιβιάδου τὸ ψήφισμα γράψαντος. Ἔτι δὲ Λυσιμάχου[549] θυγατέρα Πολυκρίτην ἀπολιπόντος, ὡς Καλλισθένης[550] φησὶ καὶ ταύτῃ σίτησιν, ὅσην καὶ τοῖς Ὀλυμπιονίκαις[551], ὁ δῆμος ἐψηφίσατο. Δημήτριος δ' ὁ Φαληρεύς[6], καὶ ὁ Ῥόδιος[552], καὶ Ἀριστόξενος ὁ μουσικός[553], καὶ Ἀριστοτέλης (εἰ δὴ τὸ περὶ εὐγενείας βιβλίον ἐν τοῖς γνησίοις Ἀριστοτέλους θετέον), ἱστοροῦσι Μυρτὼ θυγατριδῆν Ἀριστείδου Σωκράτει τῷ σοφῷ συνοικῆσαι[554], γυναῖκα μὲν ἑτέραν ἔχοντι, ταύτην δ' ἀναλαβόντι χηρεύουσαν διὰ πενίαν καὶ τῶν ἀναγκαίων ἐνδεομένην. Πρὸς μὲν οὖν τούτους ἱκανῶς ὁ Παναίτιος[28] ἐν τοῖς περὶ Σωκράτους ἀντείρηκεν. Ὁ δὲ Φαληρεὺς ἐν τῷ Σωκράτει φησὶ μνημονεύειν Ἀριστείδου θυγατριδοῦν εὖ μάλα πένητα Λυσίμαχον, ὃς ἑαυτὸν ἐκ πινακίου τινὸς ὀνειροκριτικοῦ παρὰ τὸ Ἰακχεῖον[555] λεγόμενον καθεζόμενος ἔβοσκε[556]. Τῇ δὲ μητρὶ[557] καὶ τῇ ταύτης ἀδελφῇ ψήφισμα γράψας δωρεὰν ἔπεισε[558] τὸν δῆμον διδόναι, τριώβολον[559] ἑκάστης ἡμέρας. Αὐτὸς μέντοι ὁ Δημήτριος[560] νομοθετῶν ἐψηφίσατο δραχμὴν ἑκατέρᾳ τάξαι τῶν γυναικῶν. Καὶ οὐδέν ἐστι θαυμαστόν, οὕτω φροντίσαι τῶν ἐν ἄστει[561] τὸν δῆμον, ὅπου[562] θυγατριδῆν Ἀριστογείτονος ἐν Λήμνῳ πυθόμενοι ταπεινὰ πράτ-

538) 3000 δραχμ. 539) Πάντοτε σχεδόν, συνήθως. 540) Ν' ἀναφέρῃ. 541) Σχεδόν.
542) Ὅσα ὁ δῆμος ἔπραξε κατὰ τῶν στρατηγῶν. 543) Στρατηγὸς τῶν Ἀθ. εἰς τὴν ἀρχὴν τοῦ Πελοποννησιακοῦ πολέμου. 544) Αὐτόχειρος γενομένου. 545) Κατεδικάζετο.
546) Ἔξοδα πρὸς ἐνταφιασμόν. 547) Τὸ κατάστημα εἰς τὸ ὁποῖον ἐτρέφοντο οἱ ὑπηρετήσαντες τὴν πατρίδα. 548) Προσδιώρισε. 549) Τοῦ πατρὸς τοῦ Ἀριστείδου. 550) Συγγενὴς καὶ μαθητὴς τοῦ Ἀριστοτέλους. 551) Πεντακοσίας δραχ. ἐδίδετο διὰ ζωοτροφίαν εἰς ἕκαστον Ἀθηναῖον νικήσαντα εἰς τοὺς Ὀλυμπιακοὺς ἀγῶνας. 552) Φιλόσοφος περιπατητικὸς ἐπὶ Πτολεμαίου καὶ συγγραφεύς. 553) Ἐκ Τάραντος τῆς Σικελίας, μαθητὴς τοῦ Ἀριστοτέλους, ἔγραψε περὶ μουσικῆς. Σώζονται δ' αὐτοῦ τρία βιβλία. 554) Ὑπανδρευθῇ.
555) Ναὸς τοῦ Βάκχου πιθανῶς εἰς τὸν Κεραμεικόν. 556) Ἐπορίζετο ἐξηγῶν ὀνειροκριτικόν τι φυλλάδιον. 557) Τοῦ Λυσιμάχου. 558) Ὁ Λυσίμαχος. 559) Τρεῖς ὀβολούς, ἡμίσειαν δραχμήν. 560) Ὅτι αὐτὸς ὅμως ὁ Δημήτριος, ὅταν μετὰ ταῦτα ἔλαβε νόμους εἰς τὰς Ἀθήνας, ηὔξησε τὴν δόσιν ταύτην εἰς μίαν δραχμήν. 561) Τῶν ζώντων ἐντὸς τῶν Ἀθηνῶν.
562) Ἐνῷ.

ΙΩΑΝΝΙΝΑ 2006

την[563], ἀνδρὸς ἀποροῦσαν[564] διὰ πενίαν, κατήγαγον[565] Ἀθήναζε, καὶ συνοικίσαντες[566] ἀνδρὶ τῶν εὖ γεγονότων[567], τὸ Ποταμοῖ[568] χωρίον εἰς φερνὴν ἐπέδωκαν. Ὡς φιλανθρωπίας καὶ χρηστότητος ἔτι πολλὰ καὶ καθ' ἡμᾶς ἡ πόλις ἐκφέρουσα δείγματα θαυμάζεται καὶ ζηλοῦται δικαίως.

---

# ΠΛΟΥΤΑΡΧΟΥ ΕΚ ΤΟΥ ΚΙΜΩΝΟΣ

Ὁ λόγος αὐτὸς εἶναι ὁ δέκατος τρίτος τῶν Παραλλήλων. Ἀντιπαραβάλλεται δὲ ὁ Κίμων πρὸς τὸν Ῥωμαῖον Λεύκιον Λούκουλλον.

(Ἀφῃρέθησαν οἱ 3 πρῶτοι §§ ἀφορῶντες σύγκρισιν τοῦ Κίμωνος καὶ τοῦ Ῥωμαίου Λουκούλλου.)

ΚΙΜΩΝ ὁ Μιλτιάδου, μητρὸς[1] ἦν Ἡγησιπύλης, γένος[2] Θρᾴττης[3], θυγατρὸς Ὀλόρου τοῦ βασιλέως, ὡς ἐν τοῖς Ἀρχελάου[4] καὶ Μελανθίου[5] ποιήμασιν εἰς αὐτὸν Κίμωνα[6] γεγραμμένοις ἱστόρηται. Διὸ καὶ Θουκυδίδης ὁ ἱστορικός, τοῖς περὶ Κίμωνα[7] κατὰ γένος[8] προσήκων, Ὀλόρου τε πατρὸς ἦν εἰς τὸν πρόγονον ἀναφέροντος τὴν ὁμωνυμίαν[9], καὶ τὰ χρυσεῖα[10] περὶ τὴν Θρᾴκην ἐκέκτητο. Καὶ τελευτῆσαι μὲν ἐν τῇ Σκαπτῇ ὕλῃ[11], τοῦτο δ' ἔστι τῆς Θρᾴκης χωρίον, λέγεται, φονευθεὶς ἐκεῖ· μνῆμα δ' αὐτοῦ τῶν λειψάνων εἰς τὴν Ἀττικὴν κομισθέντων, ἐν τοῖς Κιμωνείοις[12] δείκνυται παρὰ τὸν Ἐλπινίκης τῆς Κίμωνος ἀδελφῆς τάφον. Ἀλλὰ Θουκυδίδης μὲν Ἁλιμούσιος[13] γέγονε τὸν δῆμον, οἱ δὲ περὶ τὸν Μιλτιάδην, Λακιάδαι[14]. Μιλτιάδης μὲν οὖν πεντήκοντα ταλάντων ὄφλων δίκην[15] καὶ πρὸς[16] τὴν ἔκτισιν εἱρχθείς, ἐτελεύτησεν ἐν τῷ δεσμωτηρίῳ. Κίμων δὲ μειράκιον παντάπασιν ἀπολειφθεὶς μετὰ τῆς ἀδελφῆς ἔτι κόρης οὔσης καὶ ἀγάμου, τὸν πρῶτον ἠδόξει[17] χρόνον ἐν τῇ πόλει, καὶ κακῶς ἤκουεν[18], ὡς ἄτακτος καὶ πολυπότης, καὶ τῷ πάππῳ Κίμωνι[19] προσεοικὼς τὴν φύσιν, ὃν δι' εὐήθειάν φασι Κοάλεμον[20] προσαγορευθῆναι. Στησίμβροτος δὲ ὁ Θάσιος[21], περὶ τὸν αὐτὸν ὁμοῦ τι[22] χρόνον τῷ Κίμωνι γεγονώς, φησίν, αὐτὸν οὔτε μουσικὴν[23], οὔτ' ἄλλο τι μάθημα τῶν ἐλευθερίων[24] καὶ τοῖς Ἕλλησιν ἐπιχωριαζόντων[25] ἐκδιδα-

---

563) Ἔζη ταπεινῶς. 564) Μὴ δυναμένη να νυμφευθῇ. 565) Τὴν ἐκατεβίβασαν, τὴν μετεκάλεσαν. 566) Ὑπανδρεύσαντες. 567) Εὐγενῶν. 568) Τῇ ἔδωκαν εἰς προῖκα τὸν τόπον ὁ ὁποῖος εἶναι εἰς Ποταμούς. Ποταμοὶ δὲ δῆμος Ἀθηνῶν.

1) Υἱός. 2) Κατὰ τὸ γ'. 3) Ἐκ Θρᾴκης. 4) Ποιητὴς ἐκ Χερσονήσου, ἀκμάσας τὸν Ε'. αἰῶνα Π. Χ. τρία ἐπιγράμματά του σώζονται. 5) Δραματικὸς ποιητὴς ἐξ Ἀθηνῶν.

6) Περὶ αὐτοῦ τοῦ Κ. 7) Τῷ Κίμωνι. 8) Συγγενικῶς. 9) Διὰ λαβόντος τὸ αὐτὸ ὄνομα τοῦ προγόνου του. 10) Μεταλλεῖα χρυσοῦ. 11) Ὄνομα πόλεως. 12) Μνήμασιν. Εἰς τὰς Μελιτίδας πύλας, ἐν Κοίλῃ. 13) Ἁλιμοῦς, δῆμος τῆς Ἀττικῆς παρὰ τὸ Φάληρον.

14) Δῆμος τῆς Ἀττικῆς εἰς τὸν δρόμον τῆς Ἐλευσῖνος. 15) Εἰς 50 ταλάντων ζημίαν καταδικασθείς. 16) Διά. 17) Ἀδόξως διετέλει. 18) Ἐκατηγορεῖτο. 19) Τῷ πατρὶ τοῦ Μιλτιάδου. 20) Κωμικὴ λέξις σημαίνουσα ἀνόητον. 21) Ῥαψῳδός. Συνέγραψεν ὁμηρικὴν φυσιολογίαν, μὴ διασωθεῖσαν. 22) Περίπου. 23) Ἡ μουσικὴ ἀπετέλει μέρος σπουδαῖον τῆς ἀγωγῆς τῶν Ἑλλήνων, ὡς ῥυθμίζουσα τὴν ψυχήν. Ἀλλὰ Μουσική, παρὰ τοῖς ἀρχαίοις, ἐκαλεῖτο ὅλη ἡ ἐγκύκλιος παιδεία, ἡ ἰδίως Μουσική, ἡ Ποιητικὴ καὶ ἡ Ῥητορική.

24) Τῶν ἁρμοζόντων εἰς ἐλευθέρους. 25) Συνήθων.

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΙΩΑΝΝΙΝΑ 2006